ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΤΟΜΟΣ Η΄
(ΒΙΒΛΙΟΝ ΙΒ΄)

Τίτλος: Διοδώρου Σικελιώτου Ἱστορική Βιβλιοθήκη – Τόμος Η΄ (Βιβλίον ΙΒ΄)
Διορθώσεις: Ἀπόστολος Μ. Τζαφερόπουλος
Σελιδοποίησις: Ἀλέξιος Δ. Μάστορης
Ἐξώφυλλο: Δημήτριος Μπιλιλῆς
Ἐκδόσεις: ΓΕΩΡΓΙΑΔΗ - «ΒΙΒΛΙΟΘΗΚΗ ΤΩΝ ΕΛΛΗΝΩΝ»
Ὑπεύθυνος Ἐκδόσεως: Λεωνίδας Ἀθ. Γεωργιάδης

ISBN: 978-960-316-510-1
SET: 960-316-138-1

Βιβλιοπωλεῖα:
Σόλωνος 114, Ἀθῆναι Τ.Κ. 106 81, τηλ. 210 38 47 347
Κηφισίας 263, Κηφισιά Τ.Κ. 145 62, Τηλ. 210 80 15 113
www.georgiadesbooks.com - e-mail: sales@georgiadesbooks.com

ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ
ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΤΟΜΟΣ Η΄
(ΒΙΒΛΙΟΝ ΙΒ΄)

ΜΕΤΑΦΡΑΣΙΣ
Ἀπόστολος Παπανδρέου

ΓΕΩΡΓΙΑΔΗΣ

ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ
ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΙΒΛΙΟΝ ΙΒ΄

ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ
«ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ»
ΤΟΜΟΣ Η΄
ΒΙΒΛΟΣ ΔΩΔΕΚΑΤΗ

Τάδε ἔνεστιν ἐν τῇ δωδεκάτῃ τῶν Διοδώρου βίβλων.

Περὶ τῆς Ἀθηναίων στρατείας ἐπὶ Κύπρον.
Περὶ τῆς ἀποστάσεως τῶν Μεγαρέων ἀπὸ Ἀθηναίων.
Περὶ τῆς γενομένης μάχης περὶ Κορώνειαν Ἀθηναίοις καὶ Βοιωτοῖς.
Περὶ τῆς Ἀθηναίων στρατείας ἐπὶ τὴν Εὔβοιαν.
Πόλεμος κατὰ τὴν Σικελίαν Συρακοσίοις πρὸς Ἀκραγαντίνους.
Κτίσις κατὰ τὴν Ἰταλίαν Θουρίων καὶ στάσις πρὸς ἀλλήλους.
Ὡς Χαρώνδας ὁ Θουρῖνος νομοθέτης αἱρεθεὶς πολλῶν ἀγαθῶν αἴτιος ἐγένετο τῇ πατρίδι.
Ὡς Ζάλευκος νομοθετήσας ἐν Λοκροῖς μεγάλην δόξαν περιεποιήσατο.
Ὡς Ἀθηναῖοι τοὺς Ἑστιαιεῖς ἐκβαλόντες ἰδίους οἰκήτορας ἐξέπεμψαν.
Περὶ τοῦ γενομένου πολέμου Θουρίοις πρὸς Ταραντίνους.
Περὶ τῆς γενομένης στάσεως ἐν τῇ Ῥώμῃ.
Περὶ τοῦ γενομένου πολέμου Σαμίοις πρὸς Μιλησίους.
Ὡς Συρακόσιοι στρατεύσαντες ἐπὶ Πικηνοὺς τὴν πόλιν κατέσκαψαν.
Ὡς κατὰ τὴν Ἑλλάδα συνέστη πόλεμος ὁ κληθεὶς Κορινθιακός.
Ὡς κατὰ τὴν Ἰταλίαν τὸ τῶν Καμπανῶν ἔθνος συνέστη.
Ναυμαχία Κορινθίων πρὸς Κερκυραίους.
Ἀπόστασις Ποτιδαίας καὶ Χαλκιδέων ἀπὸ Ἀθηναίων.

ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ
«ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ»

ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ

Περιεχόμενα

Γιά τήν ἐκστρατεία τῶν Ἀθηναίων στήν Κύπρο.
Γιά τήν ἀποστασία τῶν Μεγαρέων ἀπό τούς Ἀθηναίους.
Γιά τή μάχη πού συνήφθη στήν Κορώνεια μεταξύ Ἀθηναίων καί Βοιωτῶν.
Γιά τήν ἐκστρατεία τῶν Ἀθηναίων ἐναντίον τῆς Εὐβοίας.
Ὁ πόλεμος στή Σικελία μεταξύ τῶν Συρακοσίων καί τῶν Ἀκραγαντίνων.
Ἡ ἵδρυση τῶν Θουρίων στήν Ἰταλία καί οἱ ἐσωτερικές διαμάχες στήν πόλη αὐτή.
Πῶς ὁ Χαρώνδας ὁ Θούριος, πού ἐκλέχθηκε νομοθέτης, ἔγινε αἴτιος πολλῶν ἀγαθῶν γιά τήν πατρίδα του.
Πῶς ὁ Ζάλευκος, ὁ νομοθέτης τῶν Λοκρῶν, ἀπέκτησε μεγάλη δόξα.
Πῶς οἱ Ἀθηναῖοι ἐξεδίωξαν τούς Ἑστιαιεῖς ἀπό τήν πόλη τους κι ἐγκατέστησαν δικούς τους ἀποίκους.
Γιά τόν πόλεμο μεταξύ τῶν Θουρίων καί τῶν Ταραντίνων.
Γιά τόν ἐμφύλιο πόλεμο στή Ρώμη.
Γιά τόν πόλεμο μεταξύ τῶν Σαμίων καί τῶν Μιλησίων.
Πῶς οἱ Συρακόσιοι ἐξεστράτευσαν ἐναντίον τῶν Πικηνῶν καί κατέσκαψαν τήν πόλη τους.
Πῶς ξέσπασε στήν Ἑλλάδα ὁ λεγόμενος Κορινθιακός πόλεμος.
Πῶς σχηματίσθηκε στήν Ἰταλία τό ἔθνος τῶν Καμπανῶν.
Ναυμαχία τῶν Κορινθίων πρός τούς Κερκυραίους.
Ἀποστασία τῆς Ποτίδαιας καί τῶν Χαλκιδέων ἀπό τούς Ἀθηναίους.

Περὶ τῆς γενομένης στρατείας Ἀθηναίων ἐπὶ τοὺς Ποτιδαιάτας.
Περὶ τῆς γενομένης στάσεως ἐν τοῖς Θουρίοις.
Ὡς Μέτων ὁ Ἀθηναῖος πρῶτος ἐξέθηκε τὴν ἐννεακαιδεκαετηρίδα.
Ὡς τὴν ἐν Ἰταλίᾳ Ἡράκλειαν Ταραντῖνοι ἔκτισαν.
Ὡς ἐπὶ τῆς Ῥώμης Σπόριος Μαίλιος ἐπιθέμενος τυραννίδι ἀνηρέθη.
Περὶ τοῦ Πελοποννησιακοῦ κληθέντος πολέμου.
Περὶ τῆς γενομένης μάχης Βοιωτοῖς πρὸς Πλαταιεῖς.
Ὡς τῆς Μεθώνης πολιορκουμένης ὑπὸ Ἀθηναίων Βρασίδας ὁ Σπαρτιάτης ἀριστεύσας ἐδοξάσθη.
Ὡς Ἀθηναῖοι στρατεύσαντες ἐπὶ Λοκροὺς πόλιν Θρόνιον ἐξεπόρθησαν.
Ὡς Αἰγινῆται ὑπὸ Ἀθηναίων ἀνασταθέντες τὰς καλουμένας Θυρέας κατῴκησαν.
Ὡς Λακεδαιμόνιοι στρατεύσαντες εἰς τὴν Ἀττικὴν τὰς κτήσεις κατέφθειραν.
Στρατεία Ἀθηναίων δευτέρα ἐπὶ τοὺς Ποτιδαιάτας.
Στρατεία Λακεδαιμονίων εἰς Ἀκαρνανίαν καὶ ναυμαχία πρὸς Ἀθηναίους.
Στρατεία Σιτάλκου μὲν εἰς Μακεδονίαν, Λακεδαιμονίων δὲ εἰς τὴν Ἀττικήν.
Περὶ τῆς Λεοντίνων πρεσβείας εἰς τὰς Ἀθήνας καὶ τῆς Γοργίου τοῦ πρεσβεύσαντος δεινότητος ἐν τοῖς λόγοις.
Περὶ τοῦ γενομένου πολέμου Λεοντίνοις πρὸς Συρακουσίους.
Ἀπόστασις Λεσβίων ἀπὸ Ἀθηναίων καὶ Πλαταιῶν ἅλωσις καὶ κατασκαφὴ ὑπὸ Λακεδαιμονίων.
Στάσις Κερκυραίων πρὸς ἀλλήλους.

Γιά τήν ἐκστρατεία τῶν Ἀθηναίων ἐναντίον τῶν Ποτιδαιατῶν.
Γιά τόν ἐμφύλιο πόλεμο στούς Θουρίους.
Πῶς ὁ Μέτων ὁ Ἀθηναῖος, πρῶτος αὐτός, ἀνέπτυξε τή θεωρία γιά τόν δεκαεννεαετῆ κύκλο.
Πῶς οἱ Ταραντῖνοι ἔκτισαν στήν Ἰταλία τήν Ἡράκλεια.
Πῶς ὁ Σπόριος Μαίλιος στή Ρώμη ἐπεχείρησε νά καταλάβη τήν ἐξουσία καί θανατώθηκε.
Γιά τόν Πελοπονησιακό πόλεμο, ὅπως ὀνομάσθηκε.
Γιά τή μάχη μεταξύ τῶν Βοιωτῶν καί τῶν Πλαταιέων.
Πῶς, ὅταν ἡ Μεθώνη ἦταν πολιορκημένη ἀπό τούς Ἀθηναίους, ὁ Βρασίδας ὁ Σπαρτιάτης διακρίθηκε καί δοξάστηκε.
Πῶς οἱ Ἀθηναῖοι ἐξεστράτευσαν ἐναντίον τῶν Λοκρῶν καί λεηλάτησαν τήν πόλη Θρόνιο.
Πῶς οἱ Αἰγινῆτες, πού ἐκτοπίσθηκαν ἀπό τούς Ἀθηναίους, ἀποίκισαν τίς λεγόμενες Θυρέες.
Πῶς οἱ Λακεδαιμόνιοι ἔστειλαν στρατό στήν Ἀττική καί κατέστρεφαν τά ἀγροτικά νοικοκυριά.
Δεύτερη ἐκστρατεία τῶν Ἀθηναίων ἐναντίον τῶν Ποτιδαιατῶν.
Ἡ ἐκστρατεία τῶν Λακεδαιμονίων στήν Ἀκαρνανία καί ἡ ναυμαχία μέ τούς Ἀθηναίους.
Γιά την ἐκστρατεία τοῦ Σιτάλκη στή Μακεδονία καί τῶν Λακεδαιμονίων στήν Ἀττική.
Γιά τήν πρεσβεία πού ἔστειλαν οἱ Λεοντῖνοι στήν Ἀθήνα καί γιά τή ρητορική δεινότητα τοῦ Γοργία, τοῦ πρεσβευτῆ τους.
Γιά τόν πόλεμο μεταξύ τῶν Λεοντίνων καί τῶν Συρακοσίων.
Ἡ ἀποστασία τῶν Λεσβίων ἀπό τούς Ἀθηναίους καί ἡ ἅλωση καί καταστροφή τῶν Πλαταιῶν ἀπό τούς Λακεδαιμονίους.
Ἐμφύλιος πόλεμος μεταξύ τῶν Κερκυραίων.

Ὡς Ἀθηναῖοι λοιμικῇ νόσῳ περιπεσόντες πολλοὺς ἀπέβαλον τῶν πολιτῶν.
Ὡς Λακεδαιμόνιοι Ἡράκλειαν ἐν τῇ Τραχῖνι πόλιν ἔκτισαν.
Ὡς Ἀθηναῖοι πολλοὺς τῶν Ἀμβρακιωτῶν ἀνελόντες ἠρήμωσαν τὴν πόλιν.
Περὶ τῶν Λακεδαιμονίων τῶν ἐν τῇ Σφακτηρίᾳ νήσῳ αἰχμαλώτων γενομένων.
Περὶ τῆς Ποστουμίου εἰς τὸν υἱὸν γενομένης ἐπιτιμήσεως ἕνεκα τῆς λιποταξίας.
Περὶ τοῦ γενομένου πολέμου Λακεδαιμονίοις καὶ Ἀθηναίοις ὑπὲρ τῶν Μεγαρέων.
Πόλεμος Λακεδαιμονίοις καὶ Ἀθηναίοις ὑπὲρ Χαλκιδέων.
Μάχη κατὰ τὴν Βοιωτίαν Ἀθηναίοις πρὸς Βοιωτούς.
Στρατεία Ἀθηναίων πρὸς τοὺς ἐν τῇ Λέσβῳ φυγάδας.
Ἔκπτωσις Δηλίων ὑπὸ Ἀθηναίων.
Ἅλωσις Τορώνης καὶ κατασκαφὴ ὑπὸ Ἀθηναίων.
Ὡς Ἀθηναίων καὶ Λακεδαιμονίων ἰδίᾳ συνθεμένων συμμαχίαν ἀπηλλοτριώθησαν αἱ λοιπαὶ πόλεις ἀπ' αὐτῶν.
Ὡς Δήλιοι κατήχθησαν ὑπὸ Ἀθηναίων εἰς τὴν πατρίδα.
Ὡς Λακεδαιμόνιοι πρὸς Μαντινεῖς καὶ Ἀργείους ἐπολέμησαν.
Βυζαντίων καὶ Καλχηδονίων στρατεία εἰς τὴν Βιθυνίαν.
Περὶ τῶν αἰτιῶν δι' ἃς ἐπὶ Συρακούσας ἐστράτευσαν Ἀθηναῖοι.

Πῶς οἱ Ἀθηναῖοι χτυπήθηκαν ἀπό τόν λοιμό καί ἔχασαν πολλούς ἀπό τούς πολίτες τους.
Πῶς οἱ Λακεδαιμόνιοι ἔκτισαν στήν Τραχῖνα μιά πόλη, τήν Ἡράκλεια.
Πῶς οἱ Ἀθηναῖοι σκότωσαν πολλούς ἀπό τούς Ἀμβρακιῶτες καί ἐρήμωσαν τήν πόλη τους.
Γιά τούς Λακεδαιμονίους πού πιάστηκαν αἰχμάλωτοι στή νῆσο Σφακτηρία.
Γιά τήν τιμωρία πού ἐπέβαλε ὁ Ποστούμιος στό γυιό του, ἐπειδή ἐγκατέλειψε τή θέση του.
Γιά τόν πόλεμο μεταξύ τῶν Λακεδαιμονίων καί τῶν Ἀθηναίων γιά τούς Μεγαρεῖς.
Ὁ πόλεμος μεταξύ τῶν Λακεδαιμονίων καί τῶν Ἀθηναίων γιά τούς Χαλκιδεῖς.
Μάχη στή Βοιωτία μεταξύ Ἀθηναίων καί Βοιωτῶν.
Ἐκστρατεία τῶν Ἀθηναίων ἐναντίον τῶν Λεσβίων ἐξορίστων.
Τό ξεσπίτωμα τῶν Δηλίων ἀπό τούς Ἀθηναίους.
Ἡ ἅλωση καί ἡ ἰσοπέδωση τῆς Τορώνης ἀπό τούς Ἀθηναίους.
Πῶς μετά τή συμμαχία πού συνῆψαν μεταξύ τους οἱ Ἀθηναῖοι καί οἱ Λακεδαιμόνιοι, ἀποξενώθηκαν ἀπ' αὐτούς οἱ ἄλλες πόλεις.
Πῶς οἱ Δήλιοι ἀποκαταστάθηκαν στήν πατρίδα τους ἀπό τούς Ἀθηναίους.
Πῶς πολέμησαν οἱ Λακεδαιμόνιοι πρός τούς Μαντινεῖς καί τούς Ἀργείους.
Ἡ ἐκστρατεία τῶν Βυζαντίων καί τῶν Χαλκηδονίων ἐναντίον τῆς Βιθυνίας.
Γιά ποιούς λόγους ἐξεστράτευσαν οἱ Ἀθηναῖοι ἐναντίον τῶν Συρακουσῶν.

*1. Δικαίως ἄν τις ἀπορήσειε τὸν νοῦν ἐπιστήσας τῇ κατὰ
τὸν ἀνθρώπινον βίον ἀνωμαλίᾳ· οὔτε γὰρ τῶν νομιζομένων
ἀγαθῶν οὐδὲν ὁλόκληρον εὑρίσκεται δεδομένον τοῖς ἀνθρώ-
ποις οὔτε τῶν κακῶν αὐτοτελὲς ἄνευ τινὸς εὐχρηστίας. τού-
του δὲ τὰς ἀποδείξεις ἐξέσται λαμβάνειν ἐπιστήσαντας τὴν
διάνοιαν ταῖς προγεγενημέναις πράξεσι, καὶ μάλιστα ταῖς
2 μεγίσταις. ἡ γὰρ Ξέρξου τοῦ Περσῶν βασιλέως ἐπὶ τὴν
Ἑλλάδα στρατεία διὰ τὸ μέγεθος τῶν δυνάμεων τὸν μέγιστον
ἐπέστησε φόβον τοῖς Ἕλλησιν, ὡς ἂν ὑπὲρ ἀνδραποδισμοῦ
μελλόντων πολεμεῖν, καὶ προκαταδεδουλωμένων τῶν κατὰ
τὴν Ἀσίαν Ἑλληνίδων πόλεων πάντες ὑπέλαβον καὶ τὰς κατὰ
3 τὴν Ἑλλάδα τῆς ὁμοίας τύχης πειράσεσθαι. τοῦ δὲ πολέμου
παρὰ τὴν προσδοκίαν τὸ τέλος λαβόντος παράδοξον, οὐ μό-
νον τῶν κινδύνων ἀπελύθησαν οἱ τὴν Ἑλλάδα κατοικοῦντες,
ἀλλὰ καὶ δόξαν μεγάλην κατεκτήσαντο, καὶ τοσαύτης εὐπο-
ρίας ἐπληρώθη πᾶσα πόλις Ἑλληνίς, ὥστε πάντας θαυμάσαι
4 τὴν εἰς τοὐναντίον μεταβολήν. ἀπὸ τούτων γὰρ τῶν χρόνων
ἐπὶ ἔτη πεντήκοντα πολλὴν ἐπίδοσιν ἔλαβεν ἡ Ἑλλὰς πρὸς τὴν
εὐδαιμονίαν. ἐν τούτοις γὰρ τοῖς χρόνοις αἵ τε τέχναι διὰ τὴν
εὐπορίαν ηὐξήθησαν, καὶ τότε μέγιστοι μνημονεύονται
τεχνῖται γεγονέναι, ὧν ἐστι Φειδίας ὁ ἀγαλματοποιός· ὁμοίως
δὲ καὶ τὰ κατὰ τὴν παιδείαν ἐπὶ πολὺ προέβη, καὶ φιλοσοφία
προετιμήθη καὶ ῥητορικὴ παρὰ πᾶσι μὲν Ἕλλησι, μάλιστα δὲ
5 Ἀθηναίοις. φιλόσοφοι μὲν γὰρ οἱ περὶ τὸν Σωκράτη καὶ Πλά-
τωνα καὶ Ἀριστοτέλην, ῥήτορες δὲ Περικλῆς καὶ Ἰσοκράτης
καὶ οἱ τούτου μαθηταί· ὁμοίως δὲ καὶ ἄνδρες ἐπὶ στρατηγίᾳ
διαβεβοημένοι, Μιλτιάδης, Θεμιστοκλῆς, Ἀριστείδης, Κίμων,*

1.

Μέ τό δίκιο του ἀπορεῖ κανείς μέ τήν ἀνακολουθία πού διαπιστώνει ἀνερευνώντας τά ἀνθρώπινα. Γιατί ἀνακαλύπτει ὅτι κανένα ἀπό τα θεωρούμενα ἀγαθά δέν ἔχει δοθῆ ἀνόθευτο στούς ἀνθρώπους, οὔτε πάλι κανένα κακό μέ τήν ἀπόλυτη ἔννοια, χωρίς κάποια πρόσμιξη ἀγαθοῦ. Ἀπόδειξη τοῦ πράγματος αὐτοῦ μπορεῖ κανείς νά ἔχῃ, ἄν ἐντρυφήσῃ στά γεγονότα τοῦ παρελθόντος, καί μάλιστα στά πιό σημαντικά. 2. Ἐπί παραδείγματι ἡ ἐκστρατεία τοῦ Ξέρξη, τοῦ βασιλιᾶ τῶν Περσῶν, ἐναντίον τῆς Ἑλλάδος προκάλεσε μέγιστο φόβο στούς Ἕλληνες μέ τίς ἀναρίθμητες στρατιές του, γιατί ὁ πόλεμος πού ἐπρόκειτο νά διεξαγάγουν θά ἔκρινε γιά τήν ἐλευθερία ἤ τόν ἐξανδραποδισμό τους καί, καθώς οἱ ἑλληνικές πόλεις τῆς Ἀσίας εἶχαν ἤδη ὑποδουλωθῆ, ὅλοι νόμιζαν ὅτι παρόμοια τύχη περιμένει καί τίς πόλεις τῆς Ἑλλάδος. 3. Ἀλλά ὁ πόλεμος εἶχε ἕνα τέλος ἀνέλπιστο κι οἱ κάτοικοι τῆς Ἑλλάδος ὄχι μόνο λυτρώθηκαν ἀπό τούς κινδύνους, ἀλλά ἀπέκτησαν καί μεγάλη δόξα καί κάθε ἑλληνική πόλη γέμισε μέ τόσα πλούτη, ὥστε ὅλοι ἔμειναν κατάπληκτοι μπροστά σέ μιά τέτοια μεταβολή τῆς τύχης. 4. Γιατί ἀπό τήν ἐποχή αὐτή ἐπί πενήντα ὁλόκληρα χρόνια ἡ Ἑλλάδα σημείωσε μεγάλη πρόοδο στήν εὐδαιμονία. Αὐτά τά χρόνια, χάρη στή μεγάλη εὐημερία, πῆραν ἀνάπτυξη οἱ τέχνες καί ἀναφέρεται ὅτι ἀναδείχθηκαν τότε ἐξαίρετοι καλλιτέχνες, μεταξύ τῶν ὁποίων ὁ γλύπτης Φειδίας. Ἐπίσης ἔλαβε μεγάλη ἀνάπτυξη ἡ παιδεία καί ὁ πολιτισμός γενικά, στόν ὁποῖο λαμπρή θέση κατέλαβε ἡ φιλοσοφία καί ἡ ρητορική μεταξύ ὅλων τῶν Ἑλλήνων καί ἰδιαίτερα τῶν Ἀθηναίων. 5. Μεγάλοι φιλόσοφοι ἦταν ὁ Σωκράτης, ὁ Πλάτων καί ὁ Ἀριστοτέλης, ρήτορες ἦταν ὁ Περικλῆς καί ὁ Ἰσοκράτης καί οἱ μαθητές του. Ἀναδείχθηκαν ἐπίσης καί ἄνδρες ὀνομαστοί γιά τή στρατηγική τους ἱκανότητα, ὅπως ὁ Μιλτιάδης, ὁ Θεμιστοκλῆς, ὁ Ἀριστείδης, ὁ Κίμων, ὁ Μυρω-

Μυρωνίδης καὶ ἕτεροι πλείονες, περὶ ὧν μακρὸν ἂν εἴη γράφειν.

2. Μάλιστα δὲ Ἀθηναῖοι τῇ τε δόξῃ καὶ ἀνδρείᾳ προκόψαντες διωνομάσθησαν καθ' ὅλην σχεδὸν τὴν οἰκουμένην· ἐπὶ τοσοῦτο γὰρ τὴν ἡγεμονίαν ηὔξησαν, ὥστε ἄνευ Λακεδαιμονίων καὶ Πελοποννησίων ἰδίᾳ μεγάλας δυνάμεις Περσικὰς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν κατηγωνίσαντο, καὶ τὴν περιβόητον Περσῶν ἡγεμονίαν ἐπὶ τοσοῦτον ἐταπείνωσαν, ὥστε ἀναγκάσαι πάσας τὰς κατὰ τὴν Ἀσίαν πό-
2 *λεις ἐλευθερῶσαι κατὰ συνθήκας. ἀλλὰ περὶ μὲν τούτων*
ἀκριβέστερον τὰ κατὰ μέρος ἀνεγράψαμεν ἐν δυσὶ βίβλοις,
ταύτῃ τε καὶ τῇ πρὸ ταύτης· νυνὶ δὲ ἐπὶ τὰς προκειμένας
πράξεις τρεψόμεθα, προδιορίσαντες τοὺς οἰκείους τῇ γραφῇ
3 *χρόνους. ἐν μὲν οὖν τῇ πρὸ ταύτης βίβλῳ τὴν ἀρχὴν ἀπὸ τῆς*
Ξέρξου στρατείας ποιησάμενοι διήλθομεν τὰς κοινὰς πράξεις ἐπὶ τὸν προηγούμενον ἐνιαυτὸν τῆς Ἀθηναίων στρατείας ἐπὶ Κύπρον Κίμωνος ἡγουμένου· ἐν ταύτῃ δὲ ἀπὸ τῆς Ἀθηναίων στρατείας ἐπὶ Κύπρον ποιησάμενοι διέξιμεν ἕως ἐπὶ τὸν ψηφισθέντα πόλεμον ὑπὸ Ἀθηναίων πρὸς Συρακοσίους.

3. Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησιν Εὐθυδήμου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Λεύκιον Κοΐντιον Κικιννᾶτον καὶ Μάρκον Φάβιον Οὐιβουλανόν. ἐπὶ δὲ τούτων Ἀθηναῖοι διαπεπολεμηκότες ὑπὲρ Αἰγυπτίων πρὸς Πέρσας, καὶ τὰς ναῦς ἁπάσας ἀπολωλεκότες ἐν τῇ λεγομένῃ Προσωπίτιδι νήσῳ, βραχὺν χρόνον διαλιπόντες ἔγνωσαν πάλιν πολεμεῖν τοῖς Πέρσαις ὑπὲρ τῶν κατὰ τὴν Ἀσίαν Ἑλλήνων. καταρτί-

νίδης καί πολλοί ἄλλοι, γιά τούς ὁποίους ἄν θέλαμε νά μιλήσωμε θά ἔπρεπε νά μακρηγορήσωμε.

2.

Πρό παντός οἱ Ἀθηναῖοι, πού διακρίθηκαν στήν παλληκαριά καί τή δόξα, ἔγιναν ὀνομαστοί σ' ὅλην τήν οἰκουμένη. Καί αὔξησαν τήν ἡγεμονία τους σέ τέτοιο βαθμό, πού χωρίς τή βοήθεια τῶν Λακεδαιμονίων καί τῶν Πελοποννησίων, μόνοι τους, κατέβαλαν μεγάλες περσικές στρατιωτικές δυνάμεις καί κατά ξηρά καί κατά θάλασσα καί τήν περιβόητη αὐτοκρατορία τῶν Περσῶν τόσο πολύ τήν ἐταπείνωσαν, πού τήν ὑποχρέωσαν μέ συνθῆκες νά ἀφήση ἐλεύθερες τίς ἑλληνικές πόλεις τῆς Ἀσίας. 2. Ἀλλά γιά ὅλα αὐτά γράψαμε λεπτομερειακά σέ δυό βιβλία, σέ τοῦτο καί στό προηγούμενο. Τώρα θά ἐπιστρέψωμε στή συνέχεια τῶν γεγονότων, ἀφοῦ προσδιορίσωμε πρῶτα τά χρονικά ὅρια τῶν γεγονότων πού θά ἀφηγηθοῦμε. 3. Στό προηγούμενο βιβλίο ἀρχίσαμε ἀπό τήν ἐκστρατεία τοῦ Ξέρξη καί παρουσιάσαμε μιά γενική ἱστορία ὥς τή χρονιά πού προηγήθηκε τῆς ἐκστρατείας τῶν Ἀθηναίων ἐναντίον τῆς Κύπρου μέ ἀρχηγό τόν Κίμωνα[1]. Σ' αὐτό τό βιβλίο θά ἀρχίσωμε μέ τήν ἐκστρατεία τῶν Ἀθηναίων ἐναντίον τῆς Κύπρου καί θά συνεχίσωμε ὥς τόν πόλεμο πού ἀποφάσισαν ν' ἀναλάβουν οἱ Ἀθηναῖοι ἐναντίον τῶν Συρακοσίων.

3.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Εὐθύδημος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Λεύκιο Κοΐντιο Κιγκιννάτο καί τόν Μάρκο Φάβιο Βιβουλανό. Αὐτήν τήν χρονιά οἱ Ἀθηναῖοι, πού εἶχαν πολεμήσει ἐναντίον τῶν Περσῶν ὑπερασπιζόμενοι τούς Αἰγυπτίους καί εἶχαν χάσει ὅλα τά πλοῖα τους στή λεγόμενη Προσωπίτιδα νῆσο, ὕστερα ἀπό ἕνα μικρό μικρό διάλειμμα ἀποφάσισαν νά πολεμήσουν πάλι ἐναντίον τῶν Περσῶν ὑπέρ τῶν Ἑλλήνων τῆς Ἀσίας. Ἀφοῦ λοιπόν ἑτοίμασαν ἕνα

1. Δηλ. ἀπό τό 180 ἕως τό 151 π.Χ.

σαντες δὲ στόλον τριήρων διακοσίων, καὶ στρατηγὸν ἑλόμενοι Κίμωνα τὸν Μιλτιάδου, προσέταξαν πλεῖν ἐπὶ Κύ-
2 *προν καὶ διαπολεμεῖν τοῖς Πέρσαις. ὁ δὲ Κίμων ἀναλαβὼν τὸν στόλον κεκοσμημένον ἀνδρῶν τε ἀρεταῖς καὶ χορηγίαις δαψιλέσιν ἔπλευσεν εἰς τὴν Κύπρον. κατ᾽ ἐκείνους δὲ τοὺς καιροὺς τῶν Περσικῶν δυνάμεων ἐστρατήγουν Ἀρτάβαζος καὶ Μεγάβυζος. Ἀρτάβαζος μὲν τὴν ἡγεμονίαν ἔχων ἐν τῇ Κύπρῳ διέτριβεν, ἔχων τριήρεις τριακοσίας, Μεγάβυζος δὲ περὶ τὴν Κιλικίαν ἐστρατοπέδευε, πεζὰς ἔχων δυνάμεις, ὧν*
3 *ὁ ἀριθμὸς ἦν τριάκοντα μυριάδων. ὁ δὲ Κίμων καταπλεύσας εἰς τὴν Κύπρον καὶ θαλαττοκρατῶν Κίτιον μὲν καὶ Μάριον ἐξεπολιόρκησε, καὶ τοῖς κρατηθεῖσι φιλανθρώπως προσηνέχθη. μετὰ δὲ ταῦτα ἐκ Κιλικίας καὶ Φοινίκης προσφερομένων τριήρων τῇ νήσῳ, Κίμων ἐπαναχθεὶς καὶ πόλεμον συγκρούσας πολλὰς μὲν τῶν νεῶν κατέδυσεν, ἑκατὸν δὲ σὺν αὐτοῖς τοῖς ἀνδράσιν εἷλε, τὰς δὲ λοιπὰς μέχρι τῆς Φοινίκης*
4 *κατεδίωξεν. οἱ μὲν οὖν Πέρσαι ταῖς ὑπολειφθείσαις ναυσὶ κατέφυγον εἰς τὴν γῆν, καθ᾽ ὃν τόπον ἦν Μεγάβυζος ἐστρατοπεδευκὼς μετὰ τῆς πεζῆς δυνάμεως· οἱ δὲ Ἀθηναῖοι προσπλεύσαντες καὶ τοὺς στρατιώτας ἐκβιβάσαντες συνῆψαν μάχην, καθ᾽ ἣν Ἀναξικράτης μὲν ὁ ἕτερος τῶν στρατηγῶν λαμπρῶς ἀγωνισάμενος ἡρωικῶς κατέστρεψε τὸν βίον, οἱ δὲ ἄλλοι κρατήσαντες τῇ μάχῃ καὶ πολλοὺς ἀνελόντες ἐπανῆλθον εἰς τὰς ναῦς. μετὰ δὲ ταῦτα Ἀθηναῖοι πάλιν ἀπέπλευσαν εἰς τὴν Κύπρον.*

Ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τὸ πρῶτον ἔτος τοῦ πολέμου.

4. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Πεδιέως Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Μάρκον Οὐαλέριον Λακτοῦκαν καὶ Σπόριον Οὐεργίνιον Τρίκοστον. ἐπὶ δὲ τούτων Κίμων ὁ τῶν Ἀθηναίων στρατηγὸς θαλαττοκρατῶν ἐχειροῦτο τὰς κατὰ τὴν Κύπρον πόλεις. ἐν δὲ τῇ Σαλαμῖνι Περσικῆς φρουρᾶς

στόλο ἀπό διακόσιες τριήρεις κι ἐξέλεξαν στρατηγό τόν Κίμωνα, τό γυιό τοῦ Μιλτιάδη, τόν διέταξαν νά πλεύση ἐναντίον τῆς Κύπρου καί νά πολεμήση ἐναντίον τῶν Περσῶν. 2. Ὁ Κίμων παραλαμβάνοντας τό στόλο μέ ἐπίλεκτα πληρώματα καί ἄφθονα ἐφόδια ἔπλευσε στήν Κύπρο. Ἐκεῖνον τόν καιρό στρατηγοί τῶν περσικῶν δυνάμεων ἦταν ὁ Ἀρτάβαζος καί ὁ Μεγάβυζος. Ὁ Ἀρτάβαζος εἶχε τήν ἀνωτάτη διοίκηση καί παρέμενε στήν Κύπρο μέ τριακόσιες τριήρεις, ἐνῶ ὁ Μεγάβυζος ἦταν στρατοπεδευμένος στήν Κιλικία μέ τριακόσιες χιλιάδες στρατό. 3. Ὁ Κίμων κατέπλευσε στήν Κύπρο καί, καθώς ἦταν κύριος τῆς θάλασσας, κατέλαβε μέ πολιορκία τό Κίτιο καί τό Μάριο καί φέρθηκε πρός τούς ἡττημένους φιλάνθρωπα. Κατόπιν, ὅταν κατέπλευσαν στό νησί τριήρεις ἀπό τήν Κιλικία καί τή Φοινίκη, ὁ Κίμων κινήθηκε ἐναντίον τους, συνῆψε μάχη καί βύθισε πολλά ἐχθρικά πλοῖα, ἑκατό τά αἰχμαλώτισε μέ τά πληρώματά τους καί τά ὑπόλοιπα τά κατεδίωξε μέχρι τή Φοινίκη. 4. Οἱ Πέρσες μέ τά πλοῖα πού τούς ἀπέμειναν κατέφυγαν στή στεριά, ἐκεῖ πού ἦταν στρατοπεδευμένος μέ τό πεζικό ὁ Μεγάβυζος. Κι οἱ Ἀθηναῖοι ἔπλευσαν ἐναντίον τους, ἀποβίβασαν τούς στρατιῶτες καί συνῆψαν μάχη, κατά τήν ὁποία ὁ Ἀναξικράτης, ὁ ἕνας ἀπό τούς δυό στρατηγούς, ἀγωνίσθηκε γενναῖα καί ἔπεσε ἡρωϊκά στό πεδίο της μάχης, ἐνῶ οἱ ἄλλοι, ἀφοῦ νίκησαν στή μάχη καί σκότωσαν πολλούς, ἐπέστρεψαν στά πλοῖα. Ὕστερ᾽ ἀπ᾽ αὐτά οἱ Ἀθηναῖοι ἀπέπλευσαν πάλι γιά τήν Κύπρο.

Αὐτά τά γεγονότα συνέβησαν τόν πρῶτο χρόνο τοῦ πολέμου.

4.

Ὅταν ἦταν στήν Ἀθήνα ἄρχων ὁ Πεδιεύς, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Μάρκο Βαλέριο Λακτοῦκα καί τόν Σπόριο Βεργίνιο Τρίκοστο. Αὐτήν τή χρονιά ὁ Κίμων, ὁ στρατηγός τῶν Ἀθηναίων, πού κυριαρχοῦσε στή θάλασσα, ὑπέταξε τίς πόλεις τῆς Κύπρου. Καί, καθώς ἦταν μιά ἀξιόλογη περσική

*οὔσης ἀξιολόγου, καὶ βελῶν καὶ ὅπλων παντοδαπῶν, ἔτι δὲ
σίτου καὶ τῆς ἄλλης παρασκευῆς γεμούσης τῆς πόλεως,
2 ἔκρινε συμφέρειν ταύτην ἐκπολιορκῆσαι. οὕτω γὰρ ὑπε-
λάμβανε μάλιστα τῆς τε Κύπρου πάσης ῥᾳδίως κυριεύσειν
καὶ τοὺς Πέρσας καταπλήξεσθαι, βοηθεῖν μὲν τοῖς Σαλαμι-
νίοις μὴ δυναμένους διὰ τὸ θαλαττοκρατεῖν τοὺς Ἀθηναί-
ους, ἐγκαταλιπόντας δὲ τοὺς συμμάχους καταφρονηθήσε-
σθαι, καθόλου δὲ τὸν ὅλον πόλεμον κριθήσεσθαι τῆς
Κύπρου πάσης βίᾳ χειρωθείσης· ὅπερ καὶ συνέβη γενέσθαι.
3 οἱ μὲν γὰρ Ἀθηναῖοι συστησάμενοι πολιορκίαν πρὸς τῇ Σα-
λαμῖνι καθ' ἡμέραν προσβολὰς ἐποιοῦντο, οἱ δ' ἐν τῇ πόλει
στρατιῶται, ἔχοντες βέλη καὶ παρασκευήν, ῥᾳδίως ἀπὸ τῶν
4 τειχῶν ἠμύνοντο τοὺς πολιορκοῦντας. Ἀρταξέρξης δὲ ὁ βα-
σιλεὺς πυθόμενος τὰ περὶ τὴν Κύπρον ἐλαττώματα, καὶ
βουλευσάμενος μετὰ τῶν φίλων περὶ τοῦ πολέμου, ἔκρινε
συμφέρειν εἰρήνην συνθέσθαι πρὸς τοὺς Ἕλληνας. ἔγραψε
τοίνυν τοῖς περὶ Κύπρον ἡγεμόσι καὶ σατράπαις ἐφ' οἷς ἂν
5 δύνωνται συλλύσασθαι πρὸς τοὺς Ἕλληνας. διόπερ οἱ περὶ
τὸν Ἀρτάβαζον καὶ Μεγάβυζον ἔπεμψαν εἰς τὰς Ἀθήνας
πρεσβευτὰς τοὺς διαλεξομένους περὶ συλλύσεως. ὑπακου-
σάντων δὲ τῶν Ἀθηναίων καὶ πεμψάντων πρέσβεις αὐτο-
κράτορας, ὧν ἡγεῖτο Καλλίας ὁ Ἱππονίκου, ἐγένοντο
συνθῆκαι περὶ τῆς εἰρήνης τοῖς Ἀθηναίοις καὶ τοῖς συμμά-
χοις πρὸς τοὺς Πέρσας, ὧν ἐστι τὰ κεφάλαια ταῦτα· αὐτο-
νόμους εἶναι τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις ἁπάσας,
τοὺς δὲ τῶν Περσῶν σατράπας μὴ καταβαίνειν ἐπὶ θάλατ-
ταν κατωτέρω τριῶν ἡμερῶν ὁδόν, μηδὲ ναῦν μακρὰν πλεῖν
ἐντὸς Φασήλιδος καὶ Κυανέων· ταῦτα δὲ τοῦ βασιλέως καὶ
τῶν στρατηγῶν ἐπιτελούντων, μὴ στρατεύειν Ἀθηναίους*

φρουρά στή Σαλαμῖνα κι ἡ πόλη ἦταν γεμάτη ἀπό βέλη καί πολεμικό ὑλικό παντός εἴδους, ἀπό σιτάρι κι ὅλα τά ἄλλα ἐφόδια, ἔκρινε σκόπιμο νά τήν πολιορκήση καί νά τήν καταλάβη. 2. Γιατί τότε, νόμιζε, θά μπορέση εὔκολα νά γίνη κύριος ὅλης τῆς Κύπρου καί νά καταπλήξη τούς Πέρσες, πού δέν μποροῦσαν νά βοηθήσουν τούς Σαλαμινίους, γιατί θαλασσοκρατοῦσαν οἱ Ἀθηναῖοι, καί μέ τό νά ἐγκαταλείψουν τούς συμμάχους τους, ὑπολόγιζε, θά καταφρονηθοῦν καί γενικά θά κριθῆ ὅλος ὁ πόλεμος, ἄν ὁλόκληρη ἡ Κύπρος κυριευθῆ μέ τά ὅπλα. 3. Ὅπως καί ἔγινε. Γιατί οἱ Ἀθηναῖοι ἄρχισαν τήν πολιορκία τῆς Σαλαμῖνος καί κάθε μέρα ἐνεργοῦσαν ἐπιθέσεις, ἐνῶ οἱ στρατιῶτες πού τήν ὑπεράσπιζαν, καθώς ἦταν ἐφοδιασμένοι γερά μέ βέλη καί ἄλλο ὑλικό, ἀπέκρουαν εὔκολα ἀπό τά τείχη τίς ἐπιθέσεις τῶν πολιορκητῶν. 4. Κι ὁ βασιλιάς Ἀρταξέρξης, μαθαίνοντας τίς ἀποτυχίες του στήν Κύπρο, συσκέφθηκε μέ τούς φίλους του γιά τόν πόλεμο καί ἔκρινε ὅτι τόν συμφέρει νά συνάψη εἰρήνη μέ τούς Ἕλληνες. Ἔγραψε λοιπόν στούς στρατηγούς του στήν Κύπρο καί στούς σατράπες τούς ὅρους μέ τούς ὁποίους μποροῦσαν νά ἔλθουν σέ συμβιβασμό μέ τούς Ἕλληνες. 5. Γι' αὐτό ὁ Ἀρτάβαζος καί ὁ Μεγάβυζος ἔστειλαν πρέσβεις στήν Ἀθήνα, νά συζητήσουν γιά τήν εἰρήνευση. Οἱ Ἀθηναῖοι ἀποδέχθηκαν τήν πρόταση καί ἔστειλαν πρέσβεις μέ πλήρη ἐξουσιοδότηση, ἀρχηγός τῶν ὁποίων ἦταν ὁ Καλλίας, ὁ γυιός τοῦ Ἱππονίκου. Ἔτσι οἱ Ἀθηναῖοι καί οἱ σύμμαχοί τους ἔκλεισαν μέ τούς Πέρσες συνθήκη εἰρήνης, τῆς ὁποίας τά κύρια σημεῖα ἦταν τά ἑξῆς: Ὅλες οἱ ἑλληνικές πόλεις τῆς Ἀσίας κηρύσσονται αὐτόνομες κι οἱ σατράπες τῶν Περσῶν δέν ἔχουν τό δικαίωμα νά κατεβαίνουν πρός τή θάλασσα πλησιέστερα ἀπό τριῶν ἡμερῶν δρόμο καί κανένα περσικό πολεμικό πλοῖο δέν θά πλέη στή Φασήλιδα[2] καί τίς Κυανές πέτρες[3]. Καί ἐφ' ὅσον τηρηθοῦν αὐτοί οἱ ὅροι ἀπό τόν βασιλιά καί τούς στρατηγούς, νά μήν ἐκστρατεύ-

2. Πόλη τῆς Λυκίας στόν κόλπο τῆς Παμφυλίας.
3. Ἡ εἴσοδος τῆς Μαύρης Θάλασσας.

6 *εἰς τὴν χώραν, ἧς βασιλεὺς ἄρχει. συντελεσθεισῶν δὲ τῶν σπονδῶν Ἀθηναῖοι τὰς δυνάμεις ἀπήγαγον ἐκ τῆς Κύπρου, λαμπρὰν μὲν νίκην νενικηκότες, ἐπιφανεστάτας δὲ συνθήκας πεποιημένοι. συνέβη δὲ καὶ τὸν Κίμωνα περὶ τὴν Κύπρον διατρίβοντα νόσῳ τελευτῆσαι.*

5. Ἐπ' ἄρχοντος δὲ Ἀθήνησι Φιλίσκου Ῥωμαῖοι κατέστησαν ὑπάτους Τίτον Ῥωμίλιον Οὐατικανὸν καὶ Γάιον Οὐετούριον Κιχώριον, Ἠλεῖοι δὲ ἤγαγον Ὀλυμπιάδα τρίτην πρὸς ταῖς ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον Κρίσων Ἱμε-
2 *ραῖος. ἐπὶ δὲ τούτων Μεγαρεῖς μὲν ἀπέστησαν ἀπὸ Ἀθηναίων, καὶ πρὸς Λακεδαιμονίους διαπρεσβευσάμενοι συμμαχίαν ἐποίησαν· οἱ δὲ Ἀθηναῖοι παροξυνθέντες ἐξέπεμψαν στρατιώτας εἰς τὴν τῶν Μεγαρέων χώραν, καὶ τὰς κτήσεις διαρπάσαντες πολλῆς ὠφελείας κύριοι κατέστησαν. τῶν δ' ἐκ τῆς πόλεως βοηθούντων τῇ χώρᾳ συνέστη μάχη, καθ' ἣν οἱ Ἀθηναῖοι νικήσαντες συνεδίωξαν τοὺς Μεγαρεῖς ἐντὸς τῶν τειχῶν.*

6. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Τιμαρχίδου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Σπόριον Ταρπήιον καὶ Αὖλον Ἀστέριον Φοντίνιον. ἐπὶ δὲ τούτων Λακεδαιμόνιοι μὲν εἰς τὴν Ἀττικὴν ἐμβαλόντες ἐπόρθησαν πολλὴν χώραν, καὶ τῶν φρουρίων τινὰ πολιορκήσαντες ἐπανῆλθον εἰς τὴν Πελοπόννησον, Τολμίδης δὲ ὁ τῶν Ἀθηναίων στρατηγὸς εἷλε
2 *Χαιρώνειαν. τῶν δὲ Βοιωτῶν συστραφέντων καὶ τοῖς περὶ τὸν Τολμίδην ἐνεδρευσάντων, ἐγένετο μάχη καρτερὰ περὶ τὴν Κορώνειαν, καθ' ἣν Τολμίδης μὲν μαχόμενος ἀνῃρέθη, τῶν δὲ ἄλλων Ἀθηναίων οἱ μὲν κατεκόπησαν, οἱ δὲ ζῶντες ἐλήφθησαν. τηλικαύτης δὲ συμφορᾶς γενομένης τοῖς Ἀθη-*

σουν οἱ Ἀθηναῖοι στή χώρα, πού ἐξουσιάζει ὁ βασιλιάς. 6. Ὅταν ἡ συνθήκη ἐπισημοποιήθηκε, οἱ Ἀθηναῖοι ἀπέσυραν τίς δυνάμεις τους ἀπό τήν Κύπρο, ἀφοῦ κατήγαγαν μιά λαμπρή νίκη καί συνῆψαν συνθήκη μέ τούς πιό εὐνοϊκούς ὅρους. Συνέβη ἐπίσης νά πεθάνη καί ὁ Κίμων ἀπό ἀρρώστεια κατά τή διάρκεια τῆς παραμονῆς του στήν Κύπρο.

5.

Ὅταν ἦταν στήν Ἀθήνα ἄρχων ὁ Φιλίσκος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Τίτο Ρωμύλιο Βατικανό καί τόν Γάιο Βετούριο Κιχώριο καί οἱ Ἠλεῖοι ὀργάνωσαν τήν ὀγδοηκοστή τρίτη Ὀλυμπιάδα, κατά τήν ὁποίαν νίκησε στόν ἀγώνα δρόμου ἑνός σταδίου ὁ Κρίσων ὁ Ἱμεραῖος. Αὐτό τό ἔτος οἱ Μεγαρεῖς ἀποστάτησαν ἀπό τούς Ἀθηναίους καί ἀποστέλλοντας πρεσβευτές πρός τούς Λακεδαιμονίους συνῆψαν συμφωνία μαζί τους. Ὀργισμένοι ἀπό τό γεγονός αὐτό οἱ Ἀθηναῖοι ἔστειλαν στρατό στή χώρα τῶν Μεγαρέων, ὁ ὁποῖος λεηλάτησε τή χώρα τους καί ἀποκόμισε πλούσια λεία. Κι ὅταν οἱ Μεγαρεῖς ἔστειλαν στρατό νά ὑπερασπίση τή χώρα τους, συνήφθη σκληρή μάχη, κατά τήν ὁποία οἱ Ἀθηναῖοι νίκησαν καί ἀπώθησαν τούς Μεγαρεῖς μέσα στά τείχη τῆς πόλεως.

6.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Τιμαρχίδης, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Σπόριο Ταρπήιο καί τόν Αὖλο Ἀστέριο Φοντίνιο. Αὐτόν τό χρόνο οἱ Λακεδαιμόνιοι εἰσέβαλαν στήν Ἀττική καί λεηλάτησαν μεγάλη ἔκταση, καί ἀφοῦ πολιόρκησαν μερικά φρούρια, ἐπέστρεψαν στήν Πελοπόννησο, ἐνῶ ὁ Τολμίδης, ὁ στρατηγός τῶν Ἀθηναίων, κατέλαβε τήν Χαιρώνεια. 2. Κι ὅταν οἱ Βοιωτοί συγκέντρωσαν ὅλες τίς δυνάμεις τους καί παραφύλαξαν τόν Τολμίδη, συνήφθη μιά ἰσχυρή μάχη στήν Κορώνεια, κατά τήν ὁποία ὁ Τολμίδης ἔπεσε μαχόμενος, κι ἀπό τό στρατό του ἄλλοι κατεκόπησαν κι ἄλλοι πιάστηκαν ζωντανοί. Ὕστερα ἀπό μιά τέτοια συμφορά, οἱ

2 *ναίοις, ἠναγκάσθησαν ἀφεῖναι τὰς πόλεις ἁπάσας τὰς κατὰ τὴν Βοιωτίαν αὐτονόμους, ἵνα τοὺς αἰχμαλώτους ἀπολάβωσιν.*

7. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Καλλιμάχου Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Σέξτον Κοΐντιον...Τριγέμινον. ἐπὶ δὲ τούτων κατὰ τὴν Ἑλλάδα τεταπεινωμένων τῶν Ἀθηναίων διὰ τὴν ἐν Βοιωτίᾳ περὶ Κορώνειαν ἧτταν, ἀφίσταντο πολλαὶ τῶν πόλεων ἀπὸ τῶν Ἀθηναίων. μάλιστα δὲ τῶν κατοικούντων τὴν Εὔβοιαν νεωτεριζόντων, Περικλῆς αἱρεθεὶς στρατηγὸς ἐστράτευσεν ἐπὶ τὴν Εὔβοιαν μετὰ δυνάμεως ἀξιολόγου, καὶ τὴν μὲν πόλιν τῶν Ἑστιαιῶν ἑλὼν κατὰ κράτος ἐξῴκισε τοὺς Ἑστιαιεῖς ἐκ τῆς πατρίδος, τὰς δ' ἄλλας καταπληξάμενος ἠνάγκασε πάλιν πειθαρχεῖν Ἀθηναίοις. σπονδὰς δ' ἐποίησαν τριακονταετεῖς, Καλλίου καὶ Χάρητος συνθεμένων καὶ τὴν εἰρήνη βεβαιωσάντων.

8. Κατὰ δὲ τὴν Σικελίαν Συρακοσίοις πρὸς Ἀκραγαντίνους συνέστη πόλεμος διὰ τοιαύτας αἰτίας. Συρακόσιοι καταπολεμήσαντες Δουκέτιον δυνάστην τῶν Σικελῶν, καὶ γενόμενον ἱκέτην ἀπολύσαντες τῶν ἐγκλημάτων, ἀπέδειξαν
2 *αὐτῷ τὴν τῶν Κορινθίων πόλιν οἰκητήριον. οὗτος δὲ ὀλίγον χρόνον μείνας ἐν τῇ Κορίνθῳ τὰς ὁμολογίας ἔλυσε, καὶ προσποιησάμενος χρησμὸν ὑπὸ θεῶν αὐτῷ δεδόσθαι κτίσαι τὴν Καλὴν Ἀκτὴν ἐν τῇ Σικελίᾳ, κατέπλευσεν εἰς τὴν νῆσον μετά τινων οἰκητόρων· συνεπελάβοντο δὲ καὶ τῶν Σικελῶν τινες, ἐν οἷς ἦν καὶ Ἀρχωνίδης ὁ τῶν Ἑρβιταίων δυναστεύων. οὗτος*
3 *μὲν οὖν περὶ τὸν οἰκισμὸν τῆς Καλῆς Ἀκτῆς ἐγίνετο. Ἀκρα-*

Ἀθηναῖοι ἀναγκάστηκαν νά ἀφήσουν αὐτόνομες ὅλες τίς πόλεις τῆς Βοιωτίας, γιά νά πάρουν πίσω τούς αἰχμαλώτους.

7.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Καλλίμαχος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Σέξτο Κοΐντιο καί τόν[4]... Τριγέμινο. Αὐτήν τή χρονιά, καθώς εἶχε ἐξασθενήσει ἡ θέση τῶν Ἀθηναίων ἐξ αἰτίας τῆς ἧττας πού ὑπέστησαν στήν Κορώνεια, πολλές πόλεις ἀποστατοῦσαν ἀπό τούς Ἀθηναίους. Ἐπικεφαλῆς τῆς ἀποστασίας ἦταν οἱ Εὐβοεῖς, γι' αὐτό ὁ Περικλῆς, πού εἶχε ἐκλεγῆ στρατηγός, ἐξεστράτευσε ἐναντίον τῆς Εὐβοίας μέ σημαντική δύναμη καί, ἀφοῦ κατέλαβε τήν πόλη Ἑστιαία, ἐκτόπισε διά τῆς βίας τούς Ἑστιαιεῖς ἀπό τήν πατρίδα τους, ἐνῶ στίς ἄλλες πόλεις ἐνέπνευσε τόν τρόμο καί τὶς ἀνάγκασε νά πειθαρχήσουν πάλι στούς Ἀθηναίους.

Μιά συνθήκη εἰρήνης γιά τριάντα χρόνια συνήφθη μεταξύ τῶν Ἀθηνῶν καί τῆς Σπάρτης, τήν ὁποία διαπραγματεύθηκαν καί ὑπέγραψαν ὁ Καλλίας καί ὁ Χάρης.

8.

Στή Σικελία ξέσπασε πόλεμος μεταξύ τῶν Συρακοσίων καί τῶν Ἀκραγαντίνων ἀπό τήν ἑξῆς αἰτία. Οἱ Συρακόσιοι νίκησαν τόν Δουκέτιο, τόν βασιλιά τῶν Σικελῶν, καί ὅταν ἔγινε ἱκέτης, τόν ἀπάλλαξαν ἀπό ὅλες τίς κατηγορίες καί τοῦ καθόρισαν ὡς τόπο διαμονῆς του τήν Κόρινθο. 2. Ἀλλά ὁ Δουκέτιος ἔμεινε λίγο καιρό στήν Κόρινθο καί μετά παραβίασε τή συμφωνία, καί μέ τό πρόσχημα ὅτι ἔλαβε χρησμό ἀπό τούς θεούς νά κτίση τήν Καλή Ἀκτή[5] στή Σικελία, ἔπλευσε στή νῆσο μαζί μέ μερικούς ἀποίκους. Στήν ὑπόθεση ἀναμίχθηκαν καί μερικοί Σικελοί, μεταξύ τῶν ὁποίων καί ὁ Ἀρχωνίδης, πού ἦταν βασιλιάς τῶν Ἑρβιταίων. Αὐτός λοιπόν τότε ἦταν ἀπασχολημένος μέ τόν ἀποικισμό τῆς Καλῆς Ἀκτῆς. 3. Ἀλλά οἱ Ἀκραγαντῖνοι

4. Χάσμα τοῦ ἀρχ. κειμένου.
5. Μία πόλη στή βόρεια ἀκτή τής Σικελίας.

γαντῖνοι δὲ ἅμα μὲν φθονοῦντες τοῖς Συρακοσίοις, ἅμα δ'
ἐγκαλοῦντες αὐτοῖς ὅτι Δουκέτιον ὄντα κοινὸν πολέμιον
διέσωσαν ἄνευ τῆς Ἀκραγαντίνων γνώμης, πόλεμον ἐξή-
4 *νεγκαν τοῖς Συρακοσίοις. σχιζομένων δὲ τῶν Σικελικῶν πό-*
λεων, καὶ τῶν μὲν τοῖς Ἀκραγαντίνοις, τῶν δὲ τοῖς Συρα-
κοσίοις συστρατευόντων, ἠθροίσθησαν παρ' ἀμφοτέροις
δυνάμεις ἀξιόλογοι. φιλοτιμίας δὲ μεγάλης γενομένης ταῖς
πόλεσιν, ἀντεστρατοπέδευσαν ἀλλήλοις περὶ τὸν Ἱμέραν
ποταμόν, καὶ γενομένης παρατάξεως ἐνίκησαν οἱ Συρακό-
σιοι, καὶ τῶν Ἀκραγαντίνων ἀνεῖλον ὑπὲρ τοὺς χιλίους.
μετὰ δὲ τὴν μάχην διαπρεσβευσαμένων περὶ συνθέσεως τῶν
Ἀκραγαντίνων, οἱ Συρακόσιοι συνέθεντο τὴν εἰρήνην.

9. Καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν. κατὰ δὲ
τὴν Ἰταλίαν συνέβη κτισθῆναι τὴν τῶν Θουρίων πόλιν δι'
αἰτίας τοιαύτας. ἐν τοῖς ἔμπροσθεν χρόνοις Ἑλλήνων κτι-
σάντων κατὰ τὴν Ἰταλίαν πόλιν Σύβαριν, συνέβη ταύτην λα-
2 *βεῖν ταχεῖαν αὔξησιν διὰ τὴν ἀρετὴν τῆς χώρας. κειμένης*
γὰρ ἀνὰ μέσον δυεῖν ποταμῶν, τοῦ τε Κράθιος καὶ τοῦ Συ-
βάριος, ἀφ' οὗ ταύτης ἔτυχε τῆς προσηγορίας, οἱ κατοικι-
σθέντες νεμόμενοι πολλὴν καὶ καρποφόρον χώραν μεγά-
λους ἐκτήσαντο πλούτους. πολλοῖς δὲ μεταδιδόντες τῆς
πολιτείας ἐπὶ τοσοῦτο προέβησαν, ὥστε δόξαι πολὺ προέχειν
τῶν κατὰ τὴν Ἰταλίαν οἰκούντων, πολυανθρωπίᾳ τε το-
σοῦτο διήνεγκαν, ὥστε τὴν πόλιν ἔχειν πολιτῶν τριάκοντα
μυριάδας.

Γενόμενος δὲ παρ' αὐτοῖς δημαγωγὸς Τῆλυς, καὶ κατη-
γορῶν τῶν μεγίστων ἀνδρῶν, ἔπεισε τοὺς Συβαρίτας φυ-

ἀπό τό ἕνα μέρος γιατί φθονοῦσαν τούς Συρακοσίους κι ἀπό τό ἄλλο γιατί τούς κατηγοροῦσαν ὅτι τόν Δουκέτιο, πού ἦταν κοινός ἐχθρός τους, τόν ἔσωσαν χωρίς τή γνώμη τῶν Ἀκραγαντίνων, κήρυξαν τόν πόλεμο ἐναντίον τῶν Συρακοσίων. 4. Οἱ Σικελικές πόλεις εἶχαν διαιρεθῆ κι ἄλλες τάχθηκαν μέ τό στρατόπεδο τῶν Ἀκραγαντίνων, ἐνῶ ἄλλες μέ τό στρατόπεδο τῶν Συρακοσίων. Ἔτσι συγκεντρώθηκαν σημαντικές δυνάμεις στά δύο ἀντίπαλα στρατόπεδα. Καί μέσα σέ μιά μεγάλη ἅμιλλα τῶν πόλεων μεταξύ τους ἀντιπαρατάχθηκαν οἱ δυό στρατοί στόν Ἱμέρα ποταμό, καί στή μάχη πού ἐπακολούθησε νίκησαν οἱ Συρακόσιοι καί σκότωσαν πάνω ἀπό χίλιους Ἀκραγαντίνους. Μετά τή μάχη οἱ Ἀκραγαντῖνοι ἔστειλαν πρεσβευτές γιά νά συζητήσουν τούς ὅρους μιᾶς συνθήκης κι οἱ Συρακόσιοι δέχθηκαν κι ἔκλεισαν εἰρήνη.

9.

Αὐτά τά γεγονότα συνέβαιναν στήν Σικελία. Καί στήν Ἰταλία κτίσθηκε ἡ πόλη τῶν Θουρίων κάτω ἀπό τίς ἀκόλουθες συνθῆκες.[6] Ὅταν τά παλαιότερα χρόνια οἱ Ἕλληνες εἶχαν κτίσει τή Σύβαρι στήν Ἰταλία, ἡ πόλη σημείωσε γοργή ἀνάπτυξη χάρη στήν γονιμότητα τοῦ ἐδάφους της. 2. Γιατί ἡ πόλη ἦταν κτισμένη ἀνάμεσα ἀπό δύο ποταμούς, τόν Κρᾶθι καί τόν Σύβαρι, ἀπό τόν ὁποῖο πῆρε καί τό ὄνομα καί οἱ κάτοικοι πού νέμονταν μεγάλη καί καρποφόρα ἔκταση ἀπέκτησαν πολλά πλούτη. Καί, καθώς παρεῖχαν πολιτικά δικαιώματα σέ πολλούς ξένους, ἔφθασαν σέ τέτοιο σημεῖο ἀναπτύξεως, ὥστε θεωρήθηκαν οἱ πρῶτοι ἀπ' ὅλους τούς κατοίκους τῆς Ἰταλίας. Καί πράγματι εἶχαν τέτοια αὔξηση τοῦ πληθυσμοῦ, ὥστε ἡ πόλη νά φθάνη τίς τριακόσιες χιλιάδες κατοίκους.

Μεταξύ τῶν Συβαριτῶν ξεφύτρωσε ἕνας δημαγωγός, ὁ Τῆλυς[7], ὁ ὁποῖος κατηγοροῦσε τούς ἰσχυρούς καί ἔπεισε τούς

6. Οἱ Θούριοι κτίσθηκαν τό 444 π.Χ., δηλ. δυό χρόνια ἀργότερα ἀπ' τή χρονολογία πού δίνει ὁ Διόδωρος.
7. Τό 511 π.Χ.

γαδεῦσαι τοὺς εὐπορωτάτους τῶν πολιτῶν πεντακοσίους
3 καὶ τὰς οὐσίας αὐτῶν δημεῦσαι. τῶν δὲ φυγάδων παρελ-
θόντων εἰς Κρότωνα καὶ καταφυγόντων ἐπὶ τοὺς εἰς τὴν
ἀγορὰν βωμούς, ὁ μὲν Τῆλυς ἐξέπεμψε πρεσβευτὰς πρὸς
τοὺς Κροτωνιάτας, οἷς ἦν προστεταγμένον ἢ τοὺς φυγάδας
4 ἐκδοῦναι ἢ πόλεμον προσδέχεσθαι. συναχθείσης δὲ ἐκκλη-
σίας καὶ προτεθείσης βουλῆς, πότερον χρὴ τοὺς ἱκέτας
ἐκδοῦναι τοῖς Συβαρίταις ἢ πόλεμον ὑπομεῖναι πρὸς δυνα-
τωτέρους, ἀπορουμένης τε τῆς συγκλήτου καὶ τοῦ δήμου, τὸ
μὲν πρῶτον ἔρρεπε ταῖς γνώμαις τὸ πλῆθος πρὸς τὴν ἀπό-
δοσιν τῶν ἱκετῶν διὰ τὸν πόλεμον· μετὰ δὲ ταῦτα Πυθαγό-
ρου τοῦ φιλοσόφου συμβουλεύσαντος σώζειν τοὺς ἱκέτας,
μετέπεσον ταῖς γνώμαις καὶ τὸν πόλεμον ὑπὲρ τῆς τῶν
5 ἱκετῶν σωτηρίας ἀνείλοντο. στρατευσάντων δ' ἐπ' αὐτοὺς
τῶν Συβαριτῶν τριάκοντα μυριάσιν ἀντετάχθησαν οἱ Κρο-
τωνιᾶται δέκα μυριάσι, Μίλωνος τοῦ ἀθλητοῦ ἡγουμένου
καὶ διὰ τὴν ὑπερβολὴν τῆς τοῦ σώματος ῥώμης πρώτου τρε-
6 ψαμένου τοὺς καθ' αὑτὸν τεταγμένους. ὁ γὰρ ἀνὴρ οὗτος,
ἑξάκις Ὀλύμπια νενικηκὼς καὶ τὴν ἀλκὴν ἀκόλουθον ἔχων
τῇ κατὰ τὸ σῶμα φύσει, λέγεται πρὸς τὴν μάχην ἀπαντῆσαι
κατεστεφανωμένος μὲν τοῖς Ὀλυμπικοῖς στεφάνοις, διε-
σκευασμένος δὲ εἰς Ἡρακλέους σκευὴν λεοντῇ καὶ ῥοπάλῳ·
αἴτιον δὲ γενόμενον τῆς νίκης θαυμασθῆναι παρὰ τοῖς πο-
λίταις.

10. Τῶν δὲ Κροτωνιατῶν διὰ τὴν ὀργὴν ζωγρεῖν μὲν μη-
δένα βουληθέντων, πάντας δὲ κατὰ τὴν φυγὴν τοὺς ὑποπε-
σόντας ἀποκτεινόντων, οἱ πλείους κατεκόπησαν· τὴν δὲ πό-
2 λιν διήρπασαν καὶ παντελῶς ἔρημον ἐποίησαν. ὕστερον δὲ
ἔτεσιν ὀκτὼ πρὸς τοῖς πεντήκοντα Θετταλοὶ συνῴκισαν,
καὶ μετ' ὀλίγον ὑπὸ Κροτωνιατῶν ἐξέπεσον κατὰ τοὺς ὑπο-

Συβαρίτες νά ἐξορίσουν τούς πεντακόσιους πιό πλούσιους πολίτες καί νά δημεύσουν τίς περιουσίες τους. 3. Κι ὅταν οἱ ἐξόριστοι πῆγαν στόν Κρότωνα καί κατέφυγαν στούς βωμούς, πού ἦταν στήν ἀγορά, ὁ Τῆλυς ἔστειλε πρεσβευτές πρός τούς Κροτωνιάτες μέ τήν ἐντολή ἤ νά ἐκδώσουν τούς ἐξορίστους ἤ ἀλλιῶς νά περιμένουν πόλεμο. Συνῆλθε ἡ ἐκκλησία καί τέθηκε γιά συζήτηση τό θέμα τί νά κάνουν, νά ἐκδώσουν τούς ἱκέτες στούς Συβαρίτες ἤ ν' ἀντιμετωπίσουν ἕναν πόλεμο ἀπό ἰσχυρότερον ἀντίπαλο. 4. Καί, καθώς ἡ σύγκλητος καί ὁ λαός βρίσκονταν σέ ἀμηχανία, στήν ἀρχή τό πλῆθος ἔκλινε πρός τή γνώμη νά ἐκδώσουν τούς ἱκέτες, γιά νά γλυτώσουν τόν πόλεμο, ἀλλά μετά, ὅταν ὁ φιλόσοφος Πυθαγόρας τούς συμβούλεψε νά σώσουν τούς ἱκέτες, ἄλλαξαν γνώμη καί ἀποδέχθηκαν τόν πόλεμο γιά τή σωτηρία τῶν ἱκετῶν. 5. Ὅταν οἱ Συβαρίτες ἐξεστράτευσαν ἐναντίον τους μέ τριακόσιες χιλιάδες στρατό, οἱ Κροτωνιάτες ἀντιτάχθηκαν μέ ἑκατό χιλιάδες καί μέ ἀρχηγό τόν Μίλωνα τόν ἀθλητή, ὁ ὁποῖος χάρη στή μεγάλη σωματική του ρώμη ἔτρεψε πρῶτος τούς ἀντιπάλους του εἰς φυγή. Καί λένε ὅτι ὁ ἄνθρωπος αὐτός, πού ὑπῆρξε ἔξι φορές Ὀλυμπιονίκης καί εἶχε ψυχικό σθένος ἀνάλογο μέ τή σωματική του ρώμη, βάδισε στή μάχη στεφανωμένος μέ τούς Ὀλυμπιακούς στεφάνους καί ντυμένος σάν Ἡρακλῆς μέ τή λεοντῆ καί τό ρόπαλο. Καί ἀπέσπασε τό θαυμασμό τῶν συμπολιτῶν του, γιατί ὑπῆρξε ὁ αἴτιος τῆς νίκης.

10.

Καθώς οἱ Κροτωνιάτες ἀπό τήν ὀργή τους δέν ἤθελαν νά πιάσουν κανένα ζωντανό, ἀλλά ὅλους ὅσους ἔπεφταν στά χέρια τους κατά τή φυγή τούς σκότωναν, οἱ περισσότεροι κατεκόπησαν. Καί τήν πόλη τῶν Συβαριτῶν τήν διήρπασαν καί τήν ἐρήμωσαν τελείως. 2. Ὕστερ' ἀπό πενήντα ὀκτώ χρόνια[8] Θεσσαλοί ἀποίκισαν τήν πόλη, ἀλλά λίγο ἀργότερα ἐκδιώχθηκαν

8. Τό 453 π.Χ.

3 *κειμένους καιρούς. καὶ μετὰ βραχὺ μετασταθεῖσα εἰς ἕτερον*
τόπον προσηγορίας ἑτέρας ἔτυχε, κτιστῶν γενομένων Λάμ-
πωνος καὶ Ξενοκρίτου τοῦτον τὸν τρόπον.

Οἱ γὰρ τὸ δεύτερον ἐκπεσόντες ἐκ τῆς πατρίδος Συ-
βαρῖται πρέσβεις ἔπεμψαν εἰς τὴν Ἑλλάδα πρὸς Λακεδαι-
μονίους καὶ Ἀθηναίους, ἀξιοῦντες συνεπιλαβέσθαι τῆς κα-
4 *θόδου καὶ κοινωνῆσαι τῆς ἀποικίας. Λακεδαιμόνιοι μὲν*
οὖν οὐ προσέσχον αὐτοῖς, Ἀθηναῖοι δὲ συμπράξειν ἐπαγ-
γειλάμενοι, δέκα ναῦς πληρώσαντες ἀπέστειλαν τοῖς Συ-
βαρίταις, ὧν ἡγεῖτο Λάμπων τε καὶ Ξενόκριτος· ἐκήρυξαν δὲ
κατὰ τὰς ἐν Πελοποννήσῳ πόλεις κοινοποιούμενοι τὴν ἀποι-
5 *κίαν τῷ βουλομένῳ μετέχειν τῆς ἀποικίας. ὑπακουσάντων*
δὲ πολλῶν καὶ λαβόντων χρησμὸν παρὰ τοῦ Ἀπόλλωνος, ὅτι
δεῖ κτίσαι πόλιν αὐτοὺς ἐν τούτῳ τῷ τόπῳ, ὅπου μέλλουσιν
οἰκεῖν

μέτρῳ ὕδωρ πίνοντες, ἀμετρὶ δὲ μᾶζαν ἔδοντες,

κατέπλευσαν εἰς τὴν Ἰταλίαν, καὶ καταντήσαντες εἰς τὴν
Σύβαριν ἐζήτουν τὸν τόπον, ὃν ὁ θεὸς ἦν προστεταχὼς κα-
6 *τοικεῖν. εὑρόντες δὲ οὐκ ἄπωθεν τῆς Συβάρεως κρήνην*
ὀνομαζομένην Θουρίαν, ἔχουσαν αὐλὸν χάλκεον, ὃν ἐκά-
λουν οἱ ἐγχώριοι μέδιμνον, νομίσαντες εἶναι τοῦτον τὸν τό-
πον τὸν δηλούμενον ὑπὸ τοῦ θεοῦ περιέβαλον τεῖχος, καὶ
7 *κτίσαντες πόλιν ὠνόμασαν ἀπὸ τῆς κρήνης Θούριον. τὴν δὲ*
πόλιν διελόμενοι κατὰ μὲν μῆκος εἰς τέτταρας πλατείας, ὧν
καλοῦσι τὴν μὲν μίαν Ἡράκλειαν, τὴν δὲ Ἀφροδισίαν, τὴν
δὲ Ὀλυμπιάδα, τὴν δὲ Διονυσιάδα, κατὰ δὲ τὸ πλάτος
διεῖλον εἰς τρεῖς πλατείας, ὧν ἡ μὲν ὠνομάσθη Ἡρῴα, ἡ δὲ
Θουρία, ἡ δὲ Θουρῖνα. τούτων δὲ τῶν στενωπῶν πεπληρω-
μένων ταῖς οἰκίαις ἡ πόλις ἐφαίνετο καλῶς κατεσκευάσθαι.

ἀπό τούς Κροτωνιάτες, κατά τήν περίοδο για τήν ὁποία τώρα μιλᾶμε. 3. Καί ὕστερα ἀπό λίγον καιρό ἡ πόλη μετατοπίστηκε σέ ἄλλο μέρος καί πῆρε ἄλλο ὄνομα. Ἱδρυτής της ὑπῆρξε ὁ Λάμπων καί ὁ Ξενόκριτος κατά τόν ἀκόλουθο τρόπο.

Οἱ Συβαρίτες, πού διώχθηκαν γιά δεύτερη φορά ἀπό τήν πατρίδα τους, ἔστειλαν πρέσβεις στήν Ἑλλάδα, πρός τούς Λακεδαιμονίους καί τούς Ἀθηναίους, καί τούς ζητοῦσαν νά τούς βοηθήσουν νά ἐπαναπατρισθοῦν καί νά μετάσχουν κι αὐτοί στόν ἀποικισμό. 4. Οἱ Λακεδαιμόνιοι δέν ἔδωσαν σημασία, ἀλλά οἱ Ἀθηναῖοι τούς ὑποσχέθηκαν νά συμπράξουν κι ἔτσι ἔστειλαν στούς Συβαρίτες δέκα πλοῖα ἐπανδρωμένα μέ ἀρχηγούς τόν Λάμπωνα καί τόν Ξενόκριτο. Κι ἔστειλαν κήρυκες στίς πόλεις τῆς Πελοποννήσου καί προσέφεραν συμμετοχή στήν ἀποικία σ’ ὅποιον τό ἐπιθυμοῦσε. 5. Πολλοί ἀποδέχθηκαν τήν προσφορά καί ἔλαβαν χρησμό ἀπό τόν Ἀπόλλωνα, ὅτι πρέπει νά κτίσουν μιά πόλη σέ κεῖνο τό μέρος ὅπου θά ζήσουν *πίνοντας μέ μέτρο τό νερό, ἀλλά τρώγοντας τό ψωμί ἀλογάριαστα*, κατέπλευσαν στήν Ἰταλία καί φθάνοντας στή Σύβαρι ἀναζητοῦσαν τό μέρος, στό ὁποῖο τούς πρόσταξε ὁ θεός νά ἐγκατασταθοῦν. Κι ἀφοῦ βρῆκαν ὄχι μακριά ἀπό τή Σύβαρι μιά κρήνη ὀνομαζόμενη Θουρία, μ’ ἕνα χάλκινο σωλήνα πού οἱ ντόπιοι τόν ὀνόμαζαν «μέδιμνο»[9], πίστεψαν ὅτι εἶναι ὁ τόπος πού τούς ὑπέδειξε ὁ θεός καί τόν περιτείχισαν κι ἔκτισαν πόλη πού τήν ὀνόμασαν Θούριον μέ τ’ ὄνομα τῆς κρήνης. 7. Χώρισαν τήν πόλη κατά μῆκος μέ τέσσερες ὁδούς, τήν πρώτη τήν ὀνόμασαν Ἡράκλεια, τήν ἄλλη Ἀφροδισία, τήν ἑπομένη Ὀλυμπιάδα καί τήν τέταρτη Διονυσιάδα. Κατά πλάτος τή χώρισαν σέ τρεῖς ὁδούς, ἀπό τίς ὁποῖες ἡ πρώτη ὀνομάσθηκε Ἡρώα, ἡ δεύτερη Θουρία καί ἡ τρίτη Θουρῖνα. Καί καθώς τά τετράγωνα πού σχηματίσθηκαν ἀπό τούς δρόμους αὐτούς γέμισαν μέ τά σπίτια, ἡ πόλη φαινόταν ὅτι εἶχε κτισθῆ καλά.

9. Ὁ μέδιμνος ἦταν μέτρο χωρητικότητος γιά τά γεωργικά προϊόντα, κυρίως γιά τό σιτάρι.

11. Ὀλίγον δὲ χρόνον ὁμονοήσαντες οἱ Θούριοι στάσει
μεγάλῃ περιέπεσον οὐκ ἀλόγως. οἱ γὰρ προϋπάρχοντες Συ-
βαρῖται τὰς μὲν ἀξιολογωτάτας ἀρχὰς ἑαυτοῖς προσένε-
μον, τὰς δ' εὐτελεῖς τοῖς ὕστερον προσγεγραμμένοις πολί-
ταις· καὶ τὰς γυναῖκας ἐπιθύειν τοῖς θεοῖς ᾤοντο δεῖν
πρώτας μὲν τὰς πολίτιδας, ὑστέρας δὲ τὰς μεταγενεστέρας·
πρὸς δὲ τούτοις τὴν μὲν σύνεγγυς τῇ πόλει χώραν κατε-
κληρούχουν ἑαυτοῖς, τὴν δὲ πόρρω κειμένην τοῖς ἐπήλυσι.
2 *γενομένης δὲ διαφορᾶς διὰ τὰς εἰρημένας αἰτίας, οἱ προσ-*
γραφέντες ὕστερον πολῖται πλείους καὶ κρείττονες ὄντες
ἀπέκτειναν σχεδὸν ἅπαντας τοὺς προϋπάρχοντας Συβαρί-
τας, καὶ τὴν πόλιν αὐτοὶ κατῴκησαν. πολλῆς δὲ οὔσης καὶ
καλῆς χώρας, οἰκήτορας ἐκ τῆς Ἑλλάδος μεταπεμψάμενοι
συχνούς, διενείμαντο τὴν πόλιν καὶ τὴν χώραν ἐπ' ἴσης ἔνε-
3 *μον. οἱ δὲ διαμένοντες ταχὺ πλούτους μεγάλους ἐκτήσαντο,*
καὶ πρὸς τοὺς Κροτωνιάτας φιλίαν συνθέμενοι καλῶς ἐπο-
λιτεύοντο. συστησάμενοι δὲ πολίτευμα δημοκρατικὸν
διεῖλον τοὺς πολίτας εἰς δέκα φυλάς, καὶ τὰς προσηγορίας
ἁπάσαις περιέθηκαν ἐκ τῶν ἐθνῶν, τρεῖς μὲν ἀπὸ τῶν ἐκ Πε-
λοποννήσου συναχθέντων ὀνομάσαντες Ἀρκάδα καὶ
Ἀχαΐδα καὶ Ἠλείαν, τὰς ἴσας δὲ ἀπὸ τῶν ἔξωθεν ὁμοεθνῶν,
Βοιωτίαν, Ἀμφικτυονίδα, Δωρίδα, τὰς δὲ λοιπὰς τέτταρας
ἀπὸ τῶν ἄλλων γενῶν, Ἰάδα, Ἀθηναΐδα, Εὐβοΐδα, Νησιῶτιν.
εἵλοντο δὲ καὶ νομοθέτην τὸν ἄριστον τῶν ἐν παιδείᾳ θαυ-
4 *μαζομένων πολιτῶν Χαρώνδαν. οὗτος δὲ ἐπισκεψάμενος*

11.

Οἱ Θούριοι μόνο γιά λίγο καιρό ἔζησαν μονοιασμένα καί ἥσυχα, καί κατόπιν ἔπεσαν σέ μεγάλες ἐσωτερικές διαμάχες, ὄχι χωρίς λόγο. Οἱ παλιότεροι Συβαρίτες κρατοῦσαν γιά τόν ἑαυτό τους τά πιό σημαντικά ἀξιώματα καί ἀπένειμαν τά πιό ἀσήμαντα στούς πολίτες πού καταγράφτηκαν ἀργότερα. Καί καθιέρωσαν νά ἔχουν προτεραιότητα στήν προσφορά θυσιῶν πρός τούς θεούς οἱ γυναῖκες τῶν πρώτων πολιτῶν καί ν' ἀκολουθοῦν οἱ γυναῖκες τῶν μεταγενέστερων πολιτῶν. Κι ἐπί πλέον τή γῆ πού ἦταν κοντά στήν πόλη τή μοίρασαν μέ κλήρους μεταξύ τους, ἐνῶ στούς ἐπήλυδες παραχωροῦσαν τίς μακρινές ἐκτάσεις. 2. Ἀπ' αὐτές λοιπόν τίς αἰτίες δημιουργήθηκε ἔχθρα μεταξύ τους κι οἱ πολίτες πού εἶχαν καταγραφῆ μεταγενέστερα μεταξύ τῶν πολιτῶν, καθώς ἦταν περισσότεροι καί ἰσχυρότεροι, σκότωσαν σχεδόν ὅλους τούς παλιότερους Συβαρίτες καί κατοίκησαν αὐτοί τήν πόλη. Καί, καθώς ὑπῆρχε πολλή καί γόνιμη γῆ, κάλεσαν πολλούς ἀπό τήν Ἑλλάδα ὡς ἀποίκους καί μοίρασαν ὅλοι μαζί ἐξ ἴσου καί τήν πόλη καί τήν καλλιεργήσιμη γῆ. 3. Κι ὅσοι παρέμεναν στήν πόλη, ἀπέκτησαν γρήγορα πολλά πλούτη καί συνάπτοντας φιλία μέ τούς Κροτωνιάτες κυβερνοῦσαν τήν πόλη κατά τρόπο θαυμαστό. Ἐγκαθίδρυσαν δημοκρατικό πολίτευμα καί χώρισαν τούς πολίτες σέ δέκα φυλές κι ἔδωσαν στήν κάθε μιά ἕνα ὄνομα μέ βάση τήν «ἐθνολογική» σύνθεση τοῦ πληθυσμοῦ της. Τρεῖς φυλές πού συγκροτήθηκαν ἀπό πληθυσμούς πού συγκεντρώθηκαν ἀπό τήν Πελοπόννησο τίς ὀνόμασαν Ἀρκαδική, Ἀχαϊκή καί Ἠλειακή, ἄλλες τρεῖς, πού συγκροτήθηκαν ἀπό πληθυσμούς προερχόμενους ἀπό περιοχές ἔξω ἀπό τήν Πελοπόννησο, τίς ὀνόμασαν Βοιωτική, Ἀμφικτυονίδα καί Δωρική. Καί τίς ὑπόλοιπες τέσσερες πού συγκροτήθηκαν ἀπό ἄλλους πληθυσμούς τίς ὀνόμασαν Ἰωνική, Ἀθηναϊκή, Εὐβοϊκή καί Νησιωτική. Ἐξέλεξαν ἐπίσης καί τόν νομοθέτη τους, τόν ἄριστο μεταξύ τῶν πολιτῶν πού θαυμαζόταν γιά τή μόρφωσή του, τόν Χαρώνδα. 4. Κι αὐτός, ἀφοῦ μελέτησε τίς νομοθεσίες ὅλων

τὰς ἁπάντων νομοθεσίας ἐξελέξατο τὰ κράτιστα καὶ κατέταξεν εἰς τοὺς νόμους· πολλὰ δὲ καὶ ἴδια ἐπινοησάμενος ἐξεῦρε, περὶ ὧν οὐκ ἀνοίκειόν ἐστιν ἐπιμνησθῆναι πρὸς διόρθωσιν τῶν ἀναγινωσκόντων.

12. Πρῶτον μὲν γὰρ τοῖς μητρυιὰν ἐπαγομένοις κατὰ τῶν ἰδίων τέκνων ἔθηκε πρόστιμον τὸ μὴ γίνεσθαι συμβούλους τούτους τῇ πατρίδι, νομίζων τοὺς κακῶς περὶ τῶν ἰδίων τέκνων βουλευσαμένους καὶ συμβούλους κακοὺς ἔσεσθαι τῇ πατρίδι. ἔφη γὰρ τοὺς μὲν πρῶτον γήμαντας καὶ ἐπιτυχόντας δεῖν εὐημεροῦντας καταπαύειν, τοὺς δὲ ἀποτυχόντας τῷ γάμῳ καὶ πάλιν ἐν τοῖς αὐτοῖς ἁμαρτάνοντας ἄφρονας δεῖν
2 *ὑπολαμβάνεσθαι. τοὺς δ᾽ ἐπὶ συκοφαντίᾳ καταγνωσθέντας προσέταξε περιπατεῖν ἐστεφανωμένους μυρίκῃ, ὅπως ἐν πᾶσι τοῖς πολίταις φαίνωνται τὸ πρωτεῖον τῆς πονηρίας περιπεποιημένοι. διὸ καί τινας ἐπὶ τούτῳ τῷ ἐγκλήματι καταδικασθέντας τὸ μέγεθος τῆς ὕβρεως οὐκ ἐνεγκόντας ἑκουσίως ἑαυτοὺς ἐκ τοῦ ζῆν μεταστῆσαι. οὗ συντελεσθέντος ἐφυγαδεύθη πᾶς ἐκ τῆς πόλεως ὁ συκοφαντεῖν εἰωθώς, καὶ τὸ πολίτευμα μακάριον εἶχε βίον τῆς τοιαύτης κακίας ἀπηλλαγμένον.*

3 *Ἔγραψε δὲ ὁ Χαρώνδας καὶ περὶ τῆς κακομιλίας νόμον ἐξηλλαγμένον καὶ τοῖς ἄλλοις νομοθέταις παρεωραμένον. ὑπολαβὼν γὰρ τοὺς ἀγαθοὺς ἄνδρας ἐνίοτε διὰ τὴν πρὸς τοὺς πονηροὺς φιλίαν καὶ συνήθειαν διαστρέφεσθαι τὰ ἤθη πρὸς κακίαν, καὶ τὴν φαυλότητα καθάπερ λοιμικὴν νόσον ἐπινέμεσθαι τὸν βίον τῶν ἀνθρώπων καὶ νοσοποιεῖν τὰς ψυχὰς τῶν ἀρίστων· κατάντης γὰρ ἡ πρὸς τὸ χεῖρον ὁδός, ῥᾳδίαν ἔχουσα τὴν ὁδοιπορίαν· διὸ καὶ τῶν μετρίων πολλοὶ τοῖς ἤθεσιν, ὑπούλοις ἡδοναῖς δελεασθέντες, εἰς ἐπιτηδεύσεις χειρίστας περιώκειλαν· ταύτην οὖν τὴν διαφθορὰν ἀνα-*

τῶν λαῶν, ἐπέλεξε τά ἄριστα σημεῖα καί τά ἐνσωμάτωσε στούς νόμους του. Ἐπίσης καί ὁ ἴδιος ἐπεξεργάσθηκε πολλές νομικές διατάξεις καί δέν εἶναι ἔξω ἀπό τό θέμα μας νά τίς ἀναφέρωμε, γιά νά διδαχθοῦν οἱ ἀναγνῶστες μας.

12.

Πρῶτα-πρῶτα γιά τούς ἄνδρες πού νυμφεύονται γιά δεύτερη φορά καί φέρνουν στά παιδιά τους μητρυιά, θέσπισε ὡς ποινή τόν ἀποκλεισμό τους ἀπό τά συμβούλια τῆς πατρίδος, γιατί πίστευε ὅτι ἄνθρωποι πού πῆραν τόσο ἐπιζήμιες ἀποφάσεις γιά τά παιδιά τους, θά εἶναι καί κακοί σύμβουλοι τῆς πατρίδος. Γιατί, ὑποστήριζε, ὅσοι εὐτύχησαν στόν πρῶτο γάμο τους πρέπει νά μένουν εὐχαριστημένοι μέ τήν καλή τους τύχη, ὅσοι ὅμως ἀπέτυχαν στό γάμο τους καί ἔπεσαν στό ἴδιο σφάλμα γιά δεύτερη φορά, πρέπει νά θεωροῦνται ἄφρονες. 2. Ἄνθρωποι πάλι, πού βρέθηκαν ἔνοχοι γιά συκοφαντία, ὅρισε νά περιφέρωνται στεφανωμένοι μέ μυρίκη, γιά νά δείχνουν σ᾽ ὅλους τούς συμπολίτες τους ὅτι κατέχουν τό ἔπαθλο τῆς πονηρίας. Γι᾽ αὐτό καί μερικοί πού καταδικάσθηκαν μ᾽ αὐτήν τήν κατηγορία δέν μπόρεσαν νά ὑποφέρουν τό μέγεθος τῆς προσβολῆς καί αὐτοκτόνησαν. Κι ὅταν συνέβη αὐτό, διώχθηκε ἀπό τήν πόλη ὁ κάθε συκοφάντης καί ἡ πολιτεία ζοῦσε μιά ζωή εὐτυχισμένη, ἀπαλλαγμένη ἀπ᾽ αὐτό τό κακό.

3. Ὁ Χαρώνδας θέσπισε ἐπίσης κι ἕνα νόμο ἰδιότυπο γιά τίς κακές συναναστροφές, πρᾶγμα πού τό εἶχαν παραβλέψει ὅλοι οἱ ἄλλοι νομοθέτες. Ἐπειδή, κατά τήν ἐκτίμησή του, ἄνθρωποι καλοί παθαίνουν κάποτε διαστροφή τοῦ χαρακτήρα τους πρός τό κακό ἀπό τή φιλία καί τή συναναστροφή μέ πονηρούς ἀνθρώπους, κι ἡ φαυλότητα, σάν καμμιά λοιμική, διαβρώνει τή ζωή τῶν ἀνθρώπων καί ἀρρωσταίνει τίς ψυχές τῶν ἀρίστων. Γιατί ὁ δρόμος πρός τό κακό εἶναι κατηφορικός καί τόν περπατάει κανείς εὔκολα. Γι᾽ αὐτό πολλοί ἄνθρωποι μέ ἐξαίσιο χαρακτήρα δελεάστηκαν ἀπό ὕπουλες ἡδονές καί ξέπεσαν στίς πιό ποταπές συνήθειες. Θέλοντας λοιπόν νά περιορίση

στεῖλαι βουλόμενος ὁ νομοθέτης ἀπηγόρευσε τῇ τῶν πο-
νηρῶν φιλίᾳ τε καὶ συνηθείᾳ χρήσασθαι, καὶ δίκας ἐποίησε
κακομιλίας, καὶ προστίμοις μεγάλοις ἀπέτρεψε τοὺς ἁμαρ-
τάνειν μέλλοντας.
4 *Ἔγραψε δὲ καὶ ἕτερον νόμον ἀπὸ τούτου κρείττονα καὶ*
τοῖς παλαιοτέροις αὐτοῦ νομοθέταις ἠμελημένον· ἐνομο-
θέτησε γὰρ τῶν πολιτῶν τοὺς υἱεῖς ἅπαντας μανθάνειν
γράμματα, χορηγούσης τῆς πόλεως τοὺς μισθοὺς τοῖς δι-
δασκάλοις. ὑπέλαβε γὰρ τοὺς ἀπόρους τοῖς βίοις, ἰδίᾳ μὴ
δυναμένους διδόναι μισθούς, ἀποστερήσεσθαι τῶν καλλί-
στων ἐπιτηδευμάτων.
13. Τὴν γὰρ γραμματικὴν παρὰ τὰς ἄλλας μαθήσεις προ-
έκρινεν ὁ νομοθέτης, καὶ μάλα προσηκόντως· διὰ γὰρ ταύ-
της τὰ πλεῖστα καὶ χρησιμώτατα τῶν πρὸς τὸν βίον ἐπιτε-
λεῖσθαι, ψήφους, ἐπιστολάς, διαθήκας, νόμους, τἄλλα τὰ
2 *τὸν βίον μάλιστα ἐπανορθοῦντα. τίς γὰρ ἂν ἄξιον ἐγκώμιον*
διάθοιτο τῆς τῶν γραμμάτων μαθήσεως; διὰ γὰρ τούτων μό-
νων οἱ μὲν τετελευτηκότες τοῖς ζῶσι διαμνημονεύονται, οἱ
δὲ μακρὰν τοῖς τόποις διεστῶτες τοῖς πλεῖστον ἀπέχουσιν ὡς
πλησίον παρεστῶσι διὰ τῶν γεγραμμένων ὁμιλοῦσι· ταῖς τε
κατὰ πόλεμον συνθήκαις ἐν ἔθνεσιν ἢ βασιλεῦσι πρὸς δια-
μονὴν τῶν ὁμολογιῶν ἡ διὰ τῶν γραμμάτων ἀσφάλεια βε-
βαιοτάτην ἔχει πίστιν· καθόλου δὲ τὰς χαριεστάτας τῶν
φρονίμων ἀνδρῶν ἀποφάσεις καὶ θεῶν χρησμούς, ἔτι δὲ
φιλοσοφίαν καὶ πᾶσαν παιδείαν μόνη τηρεῖ καὶ τοῖς ἐπιγι-
3 *νομένοις ἀεὶ παραδίδωσιν εἰς ἅπαντα τὸν αἰῶνα. διὸ καὶ τοῦ*
μὲν ζῆν τὴν φύσιν αἰτίαν ὑποληπτέον, τοῦ δὲ καλῶς ζῆν τὴν

αὐτήν τή διαφθορά ὁ νομοθέτης, ἀπαγόρευσε τή φιλία καί τή συντροφιά μέ τούς πονηρούς καί θέσπισε δίκες γιά «κακομιλία» καί μέ σοβαρές ποινές ἀπέτρεψε πολλούς πού ἐπρόκειτο νά ἁμαρτήσουν κατ' αὐτόν τόν τρόπο.

4. Ὁ Χαρώνδας θέσπισε ἐπίσης καί ἄλλον νόμο, πολύ ἀνώτερον ἀπ' τόν προηγούμενο, καί πού δέν τόν εἶχε σκεφθῆ κανείς ἀπ' τούς παλαιότερους νομοθέτες. Νομοθέτησε δηλαδή νά μαθαίνουν γράμματα ὅλα τά παιδιά τῶν πολιτῶν καί νά χορηγῆ ἡ πολιτεία τούς μισθούς τῶν δασκάλων. Γιατί ἐκτιμοῦσε, ὅτι οἱ ἄποροι, πού δέν μποροῦσαν ἐξ ἰδίων νά πληρώνουν δασκάλους, ἦταν καταδικασμένοι νά στερηθοῦν τίς εὐγενέστερες ἐπιδιώξεις.

13.

Πράγματι, ὁ νομοθέτης θεωροῦσε τήν ἀνάγνωση καί τή γραφή σημαντικότερη ἀπό κάθε ἄλλη μάθηση, καί πολύ ὀρθά. Γιατί μ' αὐτήν συντελοῦνταν οἱ πιό πολλές καί πιό χρήσιμες ὑποθέσεις τοῦ βίου, ὅπως ἡ ψῆφος, οἱ ἐπιστολές, οἱ διαθῆκες, οἱ νόμοι κι ὅλα τ' ἄλλα πού συντελοῦν τά μέγιστα στήν ἐξύψωση τοῦ ἐπιπέδου τῆς ζωῆς. 2. Ποιός, πράγματι, θά μποροῦσε νά συνθέση ἕνα ἐγκώμιο ἀντάξιο τῶν γραμμάτων; Γιατί μόνο χάρη σ' αὐτά οἱ πεθαμένοι μνημονεύονται ἀπό τούς ζωντανούς κι ἄνθρωποι πού χωρίζονται ἀπό μεγάλες ἀποστάσεις συνομιλοῦν μέ τίς ἐπιστολές, σάν νά εἶναι ὁ ἕνας δίπλα στόν ἄλλον. Καί στήν περίπτωση τῶν συνθηκῶν ἐν καιρῷ πολέμου μεταξύ κρατῶν ἤ βασιλέων, τή μεγαλύτερη ἐγγύηση, ὅτι οἱ συμφωνίες θά τηρηθοῦν πιστά, τήν παρέχει ὁ ἀλάνθαστος χαρακτήρας τῶν γραμμάτων. Καί γενικά μόνο τά γράμματα εἶναι αὐτά πού διασώζουν τά ἀποφθέγματα τῶν σοφῶν ἀνδρῶν καί τούς χρησμούς τῶν θεῶν, ἐπίσης τή φιλοσοφία καί κάθε γνώση μόνο ἡ μόρφωση τίς διατηρεῖ καί τίς παραδίδει συνεχῶς στούς μεταγενεστέρους στόν αἰῶνα τόν ἅπαντα. 3. Γι' αὐτό, ὅπως πρέπει νά θεωροῦμε τή φύση ὡς αἰτία τῆς ζωῆς, ἔτσι αἰτία μιᾶς ἀνώτερης ζωῆς πρέπει νά θε-

ἐκ τῶν γραμμάτων συγκειμένην παιδείαν. ὅθεν ὡς μεγάλων τινῶν ἀγαθῶν ἀποστερουμένους τοὺς ἀγραμμάτους διωρθώσατο τῇ νομοθεσίᾳ ταύτῃ καὶ δημοσίας ἐπιμελείας καὶ
4 *δαπάνης ἠξίωσε, καὶ τοσοῦτον ὑπερεβάλετο τοὺς πρότερον νομοθετήσαντας δημοσίῳ μισθῷ τοὺς νοσοῦντας τῶν ἰδιωτῶν ὑπὸ ἰατρῶν θεραπεύεσθαι, ὥσθ' οἱ μὲν τὰ σώματα θεραπείας ἠξίωσαν, ὁ δὲ τὰς ψυχὰς τὰς ὑπ' ἀπαιδευσίας ἐνοχλουμένας ἐθεράπευσε, κἀκείνων μὲν τῶν ἰατρῶν εὐχόμεθα μηδέποτε χρείαν ἔχειν, τοῖς δὲ τῆς παιδείας διδασκάλοις ἐπιθυμοῦμεν ἅπαντα τὸν χρόνον συνδιατρίβειν.*

14. Ἀμφότερα δὲ τὰ προειρημένα πολλοὶ τῶν ποιητῶν δι' ἐμμέτρου ποιήματος μεμαρτυρήκασι· τὴν μὲν κακομιλίαν ἐν τοῖσδε,

ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
οὐπώποτ' ἠρώτησα, γινώσκων ὅτι
τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών·

τὸν δὲ περὶ τῆς μητρυιᾶς τεθέντα νόμον ἐν τούτοις,

τὸν νομοθέτην φασὶν Χαρώνδαν ἔν τινι
νομοθεσίᾳ τά τ' ἄλλα καὶ ταυτὶ λέγειν·
ὁ παισὶν αὑτοῦ μητρυιὰν ἐπεισάγων
μήτ' εὐδοκιμείτω μήτε μετεχέτω λόγου

ωροῦμε τή μόρφωση, πού συντελεῖται μέ τήν ἀνάγνωση καί τή γραφή. Ἔτσι ὁ Χαρώνδας, πιστεύοντας ὅτι οἱ ἀγράμματοι στεροῦνται τά μέγιστα ἀγαθά, διόρθωσε αὐτήν τήν ἀδικία μέ τή νομοθεσία του αὐτήν καί καθιέρωσε τή φροντίδα καί τή δαπάνη τοῦ κράτους γι' αὐτόν τό σκοπό. 4. Καί τόσο πολύ ὑπερέβαλε τούς προηγούμενους νομοθέτες, πού θέσπισαν νόμο νά θεραπεύουν οἱ γιατροί τούς πολίτες μέ ἔξοδα τοῦ κράτους, καθ' ὅσον ἐκεῖνοι ἔκριναν ἀναγκαῖο νά θεραπεύουν τά σώματα τῶν ἰδιωτῶν, ἐνῶ αὐτός καθιέρωσε τήν θεραπεία τῶν ψυχῶν πού ὑπέφεραν ἀπό τήν ἀπαιδευσία, καί ἐνῶ εὐχόμαστε νά μᾶς εἶναι ἀχρείαστοι ἐκεῖνοι οἱ γιατροί, ἐπιθυμοῦμε ἀπό καρδιᾶς νά περνᾶμε ὅλον τόν καιρό συντροφιά μέ τούς δασκάλους τῆς ἐπιστήμης.

14.

Καί γιά τά δύο αὐτά θέματα, γιά τά ὁποῖα κάναμε λόγο, ἔχομε καί τή μαρτυρία πολλῶν ποιητῶν, πού μιλᾶνε γι' αὐτά στά ποιήματά τους. Γιά τό νόμο τῆς «κακομιλίας» ἔχομε τούς ἀκόλουθους στίχους:

Ἄνθρωπος πού χαίρεται συντροφιά μέ τούς κακούς,
ποτέ δέν ρώτησα σάν τί λογῆς ἄνθρωπος νἆναι,
ἀφοῦ ξέρω πώς εἶναι σάν κι αὐτούς
πού χαίρεται μαζί τους συντροφιά νά κάνῃ.[10]

Καί γιά τό νόμο σχετικά μέ τή μυτρυιά ἔχομε τούς ἀκόλουθους στίχους:

Λένε πώς ὁ νομοθέτης ὁ Χαρώνδας
μεταξύ τῶν ἄλλων λέει καί τά ἑξῆς
σέ κάποιο νόμο. Ὅποιος φέρνει στα παιδιά του
μητρυιά οὔτε ὑπόληψη οὔτε λόγο

10. Εὐριπίδου Φοῖνιξ (Fragm. 812, Nauck)

παρὰ τοῖς πολίταις, ὡς ἐπείσακτον κακὸν
κατὰ τῶν ἑαυτοῦ πραγμάτων πεπορισμένος.
εἴτ' ἐπέτυχες γάρ, φησί, γήμας τὸ πρότερον,
εὐημερῶν κατάπαυσον, εἴτ' οὐκ ἐπέτυχες,
μανικὸν τὸ πεῖραν δευτέρας λαβεῖν πάλιν.

ταῖς γὰρ ἀληθείαις ὁ δὶς ἐν τοῖς αὐτοῖς πράγμασιν ἁμαρτάνων ἄφρων ἂν δικαίως νομισθείη. 2 *καὶ Φιλήμονος τοῦ κωμῳδιογράφου γράφοντος τοὺς πολλάκις ναυτιλλομένους καὶ εἰπόντος νόμῳ*

τεθαύμακ' οὐκ ἐπεὶ πέπλευκέ τις,
ἀλλ' εἰ πέπλευκε δίς,

τὸ παραπλήσιον ἄν τις ἀποφαίνοιτο μὴ θαυμάζειν εἴ τις γεγάμηκεν, ἀλλ' εἰ δὶς γεγάμηκε· κρεῖττον γὰρ εἶναι δὶς ἑαυτὸν θαλάττῃ παραβαλεῖν ἢ γυναικί. 3 *μέγισται γὰρ καὶ χαλεπώταται στάσεις ἐν ταῖς οἰκίαις γίνονται διὰ μητρυιὰς τέκνοις πρὸς πατέρας, καὶ διὰ ταῦτα πολλαὶ καὶ παράνομοι πράξεις ἐν τοῖς θεάτροις τραγῳδοῦνται.*

15. Ὁ δ' οὖν Χαρώνδας καὶ ἕτερόν τινα νόμον ἀποδοχῆς ἀξιούμενον ἔγραψε, τὸν περὶ τῆς τῶν ὀρφανῶν φυλακῆς. οὗτος δ' ἐξ ἐπιπολῆς μὲν θεωρούμενος οὐδὲν φαίνεται περιττὸν ἔχειν οὐδὲ ἀποδοχῆς ἄξιον, ἀναθεωρούμενος δὲ καὶ μετ' ἀκριβείας ἐξεταζόμενος μεγάλην ἔχει σπουδήν τε καὶ

νἄχη μεταξύ τῶν πολιτῶν,
ἀφοῦ μπάζει μέσ' στό σπιτικό του
ἐπείσακτο κακό.
Γιατί, λέει, ἄν πέτυχες στόν πρῶτο γάμο,
μεῖνε ἐκεῖ τήν εὐτυχία νά χαρῇς,
κι ἄν δέν πέτυχες, εἶναι τρέλλα ἀληθινή
γιά δεύτερη φορά νά δοκιμάσης.[11]

Γιατί πράγματι, ὅποιος κάνει δυό φορές τό ἴδιο λάθος, δικαίως μπορεῖ νά νομισθῇ ἄφρων. 2. Κι ὁ κωμικός ποιητής Φιλήμων, ὅταν εἰσάγη ἀνθρώπους πού ταξίδευαν στή θάλασσα κατ' ἐπανάληψη, κάνοντας ἀναφορά στόν νόμο, λέει:

Δέ θαύμασα, ἄν ταξίδεψε κανείς
στή θάλασσα, μόνο θαυμάζω
ἄν δυό φορές ταξίδεψε.

Κατά παρόμοιο τρόπο μπορεῖ κανείς νά πῇ, πώς δέν ἐκπλήττεται, ἄν κάποιος νυμφεύθηκε, ἀλλά ἄν νυμφεύθηκε δυό φορές. Γιατί εἶναι προτιμότερο νά ἐκτεθῇ κανείς δυό φορές στόν κίνδυνο τῆς θάλασσας παρά στόν κίνδυνο τῆς γυναίκας. 3. Γιατί μέγιστες καί ἀφόρητες διαμάχες προκύπτουν στίς οἰκογένειες μεταξύ τῶν παιδιῶν καί τοῦ πατέρα ἐξ αἰτίας μητρυιᾶς. Καί γι' αὐτόν τό λόγο πολλές καί παράνομες πράξεις προβάλλονται στά θέατρα ἀπό τούς τραγικούς ποιητές.

15.

Ὁ Χαρώνδας εἰσήγαγε καί κάποιον ἄλλον ἀξιέπαινο νόμο, τό νόμο γιά τήν προστασία τῶν ὀρφανῶν. Ἄν τόν ἐξετάσης ἐπιφανειακά τόν νόμο αὐτό, δέν θά βρῇς νά παρέχη κάτι τό πρωτότυπο καί ἀξιόλογο, ἀλλά ὅταν ἐμβαθύνης σ' αὐτόν, θά βρῇς ὅτι εἶναι πολύ μελετημένος καί μεγάλης ἀξίας. 2. Προ-

11. Ἀγνώστου ποιητοῦ.

*δόξαν. ἔγραψε γὰρ τῶν μὲν ὀρφανικῶν χρημάτων ἐπιτρο-
πεύειν τοὺς ἀγχιστεῖς τοὺς ἀπὸ πατρός, τρέφεσθαι δὲ τοὺς
ὀρφανοὺς παρὰ τοῖς συγγενέσι τοῖς ἀπὸ μητρός. αὐτόθεν
μὲν οὖν ὁ νόμος οὗτος οὐδὲν ὁρᾶται περιέχων σοφὸν ἢ πε-
ριττόν, ἐξεταζόμενος δὲ κατὰ βάθους εὑρίσκεται δικαίως ὢν
ἄξιος ἐπαίνων. ζητουμένης γὰρ τῆς αἰτίας δι' ἣν ἄλλοις μὲν
τὴν οὐσίαν, ἑτέροις δὲ τὴν τῶν ὀρφανῶν τροφὴν ἐπίστευσεν,*
3 *ἐκφαίνεταί τις ἐπίνοια τοῦ νομοθέτου περιττή· οἱ μὲν γὰρ
ἀπὸ μητρὸς συγγενεῖς οὐ προσήκοντες τῇ κληρονομίᾳ τῶν
ὀρφανῶν οὐκ ἐπιβουλεύσουσιν, οἱ δ' ἀπὸ τοῦ πατρὸς οἰκεῖοι
ἐπιβουλεῦσαι μὲν οὐ δύνανται διὰ τὸ μὴ πιστεύεσθαι τοῦ
σώματος, τῆς δ' οὐσίας εἰς ἐκείνους καθηκούσης, ἐὰν οἱ
ὀρφανοὶ τελευτήσωσιν ἢ διὰ νόσον ἤ τινα ἄλλην περίστασιν,
ἀκριβέστερον οἰκονομήσουσι τὰ χρήματα, ὡς ἰδίας τὰς ἐκ
τῆς τύχης ἐλπίδας ἔχοντες.*

*16. Ἕτερον δὲ ἔθηκε νόμον κατὰ τῶν λιπόντων τὴν ἐν πο-
λέμῳ τάξιν ἢ τὸ σύνολον μὴ ἀναλαβόντων τὰ ὅπλα ὑπὲρ τῆς
πατρίδος. τῶν γὰρ ἄλλων νομοθετῶν κατὰ τῶν τοιούτων τε-
θεικότων θάνατον τὸ πρόστιμον, οὗτος προσέταξε τοὺς τοι-
ούτους ἐν τῇ ἀγορᾷ ἐφ' ἡμέρας τρεῖς καθῆσθαι ἐν ἐσθῆσι γυ-*
2 *ναικείαις. ὁ δὲ νόμος οὗτος ἅμα μὲν φιλανθρωπότερός ἐστι
τῶν παρὰ τοῖς ἄλλοις, ἅμα δὲ λεληθότως τῷ μεγέθει τῆς ἀτι-
μίας ἀποτρέπει τοὺς ὁμοίους τούτοις τῆς ἀνανδρίας· κρεῖττον
γάρ ἐστιν ἀποθανεῖν ἢ τοιαύτης ὕβρεως ἐν τῇ πατρίδι πει-
ραθῆναι· ἅμα δὲ καὶ τοὺς ἁμαρτάνοντας οὐκ ἠφάνισεν, ἀλλὰ
τῇ πόλει πρὸς τὰς πολεμικὰς χρείας ἐτήρησ' ὡς διορθωσομέ-*

βλέπει λοιπόν ὁ νόμος του νά ἐπιτροπεύεται ἡ περιουσία τῶν ὀρφανῶν ἀπό τούς στενούς συγγενεῖς τοῦ πατέρα τους, καί νά ἀνατρέφωνται τά ὀρφανά ἀπό τούς συγγενεῖς τῆς μητέρας τους. Ἀπό πρώτη ματιά ὁ νόμος αὐτός δέν ἐμφανίζει τίποτε τό σοφό ἤ πρωτότυπο, ἄν τόν ἐξετάση ὅμως κανείς κατά βάθος θά τόν εὕρη δικαίως ἀξιέπαινον. Ἀναζητώντας κανείς τήν αἰτία πού ἐμπιστεύθηκε σ' ἄλλους τήν περιουσία καί σ' ἄλλους τήν ἀνατροφή τῶν ὀρφανῶν, ἀνακαλύπτει μιά πρωτότυπη σκέψη τοῦ νομοθέτη. 3. Γιατί οἱ συγγενεῖς ἀπό τήν πλευρά τῆς μητέρας δέν θά δολιευθοῦν τή ζωή τῶν ὀρφανῶν, ἀφοῦ δέν ἔχουν κληρονομικά δικαιώματα στήν περιουσία τους, κι οἱ συγγενεῖς ἀπό τήν πλευρά τοῦ πατέρα δέν θά ἔχουν τήν εὐχέρεια νά δολιευθοῦν τή ζωή τῶν ὀρφανῶν, ἀφοῦ δέν τούς ἔχει ἀνατεθῆ ἡ ἀνατροφή τῶν παιδιῶν. Κι ἀκόμα, καθώς αὐτοί εἶναι πού ἔχουν κληρονομικά δικαιώματα στήν περιουσία, ἄν τά ὀρφανά πεθάνουν ἀπό ἀρρώστεια ἤ ἀπό ἄλλη αἰτία, θά διαχειρισθοῦν τήν περιουσία τους μέ μεγαλύτερη φροντίδα μέ τήν ἐλπίδα, ὅτι σήμερα ἤ αὔριο –ἄν ὁρίση ἡ τύχη– μπορεῖ νά γίνουν δικά τους.

16.

Ὁ Χαρώνδας θέσπισε κι ἄλλο νόμο γιά τούς λιποτάκτες καί τούς φυγόστρατους. Ἐνῶ οἱ ἄλλοι νομοθέτες γι' αὐτές τίς περιπτώσεις ἔχουν ὁρίσει τήν ποινή τοῦ θανάτου, αὐτός ὅρισε οἱ ἔνοχοι τέτοιων ἀδικημάτων νά καθήσουν στήν ἀγορά ἐπί τρεῖς ἡμέρες φορώντας γυναικεῖα φορέματα. 2. Κι ὁ νόμος αὐτός δέν εἶναι μόνο περισσότερο ἀνθρώπινος ἀπό τούς σχετικούς νόμους τῶν ἄλλων λαῶν, ἀλλά ταυτόχρονα μέ τό μέγεθος τῆς ταπεινώσεως ἀνεπαισθήτως ἀποτρέπει τούς ἄλλους, τούς ὁμοίους τους, ἀπό τήν ἀνανδρία. Γιατί εἶναι προτιμότερο νά πεθάνουν παρά νά δοκιμάσουν τέτοιο ἐξευτελισμό στήν πατρίδα τους. Κι ἐπί πλέον, δέν ἔβγαλε ἀπό τή μέση τούς ἐνόχους, ἀλλά τούς διέσωζε, ὥστε νά βοηθοῦν τήν πατρίδα στίς πολεμικές της ἀνάγκες, μέ τήν πεποίθηση ὅτι θά διορθωθοῦν

νους τῇ διὰ τῆς ὕβρεως κολάσει καὶ σπεύσοντας ἑτέροις ἀνδραγαθήμασιν ἐξαλεῖψαι τὴν προγεγενημένην αἰσχύνην.

3 *Διὰ δὲ τῆς ἀποτομίας τῶν νόμων διέσωσε τοὺς νόμους ὁ νομοθέτης. προσέταξε γὰρ ἐκ παντὸς τρόπου πείθεσθαι τῷ νόμῳ, κἂν ᾖ παντελῶς κακῶς γεγραμμένος· διορθοῦν δὲ συν-*
4 *εχώρησε τὸν χρείαν ἔχοντα διορθώσεως. τὸ μὲν γὰρ ἡττᾶσθαι ὑπὸ νομοθέτου καλὸν εἶναι ὑπελάμβανε, τὸ δὲ ὑπὸ ἰδιώτου παντελῶς ἄτοπον, καὶ εἰ ἐπὶ τῷ συμφέροντι γίνεται. καὶ μάλιστα διὰ τοῦ τοιούτου τρόπου τοὺς ἐν τοῖς δικαστηρίοις τῶν παρανενομηκότων προφάσεις καὶ διανοίας ἀντὶ τῶν ῥητῶν εἰσάγοντας ἐκώλυσε ταῖς ἰδίαις εὑρησιλο-*
5 *γίαις καταλύειν τὴν τῶν νόμων ὑπεροχήν· διὸ καί τινας τῶν τοιαύτας κατηγορίας πεποιημένων πρὸς τοὺς δικαστὰς τοὺς δικάζοντας περὶ τῆς τῶν παρανενομηκότων τιμωρίας εἰπεῖν ὅτι σώζειν ἀναγκαῖον ἢ τὸν νόμον ἢ τὸν ἄνδρα.*

17. Τὸν δ' οὖν Χαρώνδα φασὶ παραδοξότατον νενομοθετηκέναι περὶ τῆς διορθώσεως τῶν νόμων. ὁρῶντα γὰρ αὐτὸν ἐν ταῖς πλείσταις πόλεσι διὰ τὸ πλῆθος τῶν ἐπιχειρούντων ἐπανορθοῦν τοὺς νόμους λυμαινομένους μὲν τὰς προϋπαρχούσας νομοθεσίας, εἰς στάσεις δὲ τὰ πλήθη προαγομένους,
2 *ἴδιόν τι καὶ παντελῶς ἐξηλλαγμένον νομοθετῆσαι. προσέταξε γὰρ τὸν βουλόμενον διορθῶσαί τινα νόμον, ὅταν ποιῆται τὴν περὶ τῆς διορθώσεως συμβουλίαν, τὸν ἑαυτοῦ τράχηλον εἰς βρόχον ἐντιθέναι, καὶ μένειν ἄχρι ἂν ὅτου τὴν κρίσιν ὁ δῆμος περὶ τοῦ διορθουμένου νόμου ποιήσηται, κἂν μὲν ἡ ἐκκλησία προσδέξηται τὸν ὕστερον γραφόμενον, ἀπολύεσθαι τὸν εἰσηγησάμενον, ἐὰν δὲ ἄκυρον ποιήσηται τὴν διόρθωσιν, παραχρῆμα θνήσκειν ὑπὸ τοῦ βρόχου σφιγγόμε-*

μέ τήν τιμωρία τῆς ταπεινώσεως καί θά σπεύσουν νά ἀποπλύνουν τή ντροπή μέ γενναῖες πράξεις.

3. Ὁ νομοθέτης ἐπίσης διέσωσε τούς νόμους μέ τήν αὐστηρότητά τους. Γιατί πρόσταζε μέ κάθε τρόπο νά πειθαρχοῦν ὅλοι στό νόμο, ἀκόμα καί ἄν εἶναι τελείως ἐσφαλμένος. Καί ἐπέτρεψε νά διορθώσουν τό νόμο πού πράγματι ἔχει ἀνάγκη διορθώσεως. 4. Γιατί ὑποστήριζε τήν ἄποψη, ὅτι εἶναι ὀρθό νά ἐξουσιάζεται κανείς ἀπό ἕνα νομοθέτη, ἐνῶ εἶναι ἄτοπο νά ἐξουσιάζεται ἀπό ἕναν ἰδιώτη, ἀκόμα κι ἄν αὐτό ὑπηρετῆ τό γενικό συμφέρον. Καί μάλιστα μ' αὐτόν τόν τρόπο, τούς ἀνθρώπους πού προβάλλουν στά δικαστήρια προφάσεις καί σοφίσματα αὐτῶν πού παραβιάζουν τούς νόμους ἀντί τῶν ρητῶν διατάξεων τῶν νόμων, τούς ἐμπόδισε μέ τά τεχνάσματά τους νά καταλύουν τήν ἀνωτερότητα τοῦ νόμου. 5. Γι' αὐτό λένε, ὅτι εἶπε σέ μερικούς πού ἀράδιαζαν τέτοια ἐπιχειρήματα μπροστά στούς δικαστές, πού ἐπρόκειτο νά τιμωρήσουν τούς παραβάτες τοῦ νόμου: «Πρέπει νά σώσετε ἤ τό νόμο ἤ τόν ἄνθρωπο».

17.

Ἀλλά ὁ πιό ἐκπληκτικός νόμος τοῦ Χαρώνδα, λένε, ἦταν αὐτός πού σχετίζεται μέ τήν τροποποίηση τῶν νόμων. Βλέποντας ὅτι σέ πολλές πόλεις πολλοί ἄνθρωποι πού ἐπιχειροῦσαν νά τροποποιήσουν τούς νόμους, λυμαίνονταν στήν κυριολεξία τίς ὑπάρχουσες νομοθεσίες καί προκαλοῦσαν τίς λαϊκές μάζες σέ ἐμφύλιες διαμάχες, ἐψήφισε ἕναν ἰδιότυπο καί ἐντελῶς μοναδικόν νόμο. 2. Ὅρισε, συγκεκριμένα, ὅποιος ἐπιθυμοῦσε νά τροποποιήση ἕναν ἀπό τούς ὑπάρχοντες νόμους, τήν ὥρα πού προβαίνει στή σχετική εἰσήγηση, νά ἔχη περασμένον τόν τράχηλό του στή θηλειά καί νά μείνη στή θέση αὐτή, μέχρις ὅτου ὁ λαός ἀποφανθῆ γιά τήν τροπολογία του. Κι ἄν ἡ συνέλευση ἀποδεχθῆ τίς προτάσεις του, νά ἐλευθερώνεται, ἄν ὅμως ἀπορρίψη τήν τροπολογία τοῦ νόμου πού εἰσηγήθηκε, ἀμέσως νά τραβοῦν τήν θηλειά κι ὁ ἄνθρωπος νά μένη στόν τόπο. 3. Μπρο-

3 *νον. τοιαύτης δὲ κατὰ τὴν διόρθωσιν τῆς νομοθεσίας οὔσης,*
καὶ τοῦ φόβου τοὺς νεωτέρους νομοθέτας κολάζοντος,
οὐδεὶς ἐτόλμα περὶ νόμων διορθώσεως φωνὴν προΐεσθαι· ἐν
παντὶ δὲ τῷ μετὰ ταῦτα χρόνῳ παρὰ τοῖς Θουρίοις τρεῖς οἱ
πάντες ἱστοροῦνται διορθωθῆναι διά τινας ἀναγκαίας πε-
ριστάσεις.

4 *Νόμου γὰρ ὄντος, ἐάν τίς τινος ὀφθαλμὸν ἐκκόψῃ,*
ἀντεκκόπτεσθαι τὸν ἐκείνου, ἑτερόφθαλμός τις ἐκκοπεὶς
τὸν ὀφθαλμὸν καὶ στερηθεὶς ὅλης τῆς ὁράσεως τῷ τὸν ἕνα
ἀντεκκεκόφθαι τὸν δράσαντα ἔλαττον ὑπέλαβε πρόστιμον
ἐκτῖσαι· τυφλώσαντα γὰρ ἕνα τῶν πολιτῶν, εἰ τὸ κατὰ νόμον
πρόστιμον ὁ πράξας ὑπομένοι, μὴ τετευχέναι τῆς ἴσης συμ-
φορᾶς· δίκαιον οὖν εἶναι τὸν ἑτερόφθαλμον τὴν ὅρασιν
ἀφελόμενον ἀμφοτέρους ἐκκόπτεσθαι τοὺς ὀφθαλμούς, εἰ
5 *μέλλει τὴν ἴσην ἀναδέχεσθαι τιμωρίαν. διὸ καὶ περιαλγῆ γε-*
νόμενον τὸν ἑτερόφθαλμον ἀποτολμῆσαι λόγον ἐν ἐκκλησίᾳ
διαθέσθαι περὶ τῆς ἰδίας συμφορᾶς, ἅμα μὲν τοῖς πολίταις
ἀποδυρόμενον τὴν ἰδίαν ἀτυχίαν, ἅμα δὲ συμβουλεύοντα
τοῖς πλήθεσι διορθώσασθαι τὸν νόμον· τέλος δὲ δόντα τὸν
τράχηλον εἰς βρόχον καὶ ἐπιτυχόντα τῇ συμβουλίᾳ, ἀκυ-
ρῶσαι μὲν τὸν ὑπάρχοντα νόμον, βεβαιῶσαι δὲ τὸν διορ-
θωθέντα, καὶ διαφυγεῖν τὸν τοῦ βρόχου θάνατον.

18. Δεύτερος δὲ διωρθώθη νόμος ὁ διδοὺς ἐξουσίαν τῇ γυναικὶ ἀπολύειν τὸν ἄνδρα καὶ συνοικεῖν ᾧ ἂν βούληται. τῶν γὰρ προβεβηκότων τῇ ἡλικίᾳ τις, ἔχων γυναῖκα νεωτέραν καὶ καταλειφθείς, συνεβούλευε τοῖς Θουρίοις διορθῶσαι τὸν νόμον καὶ προσγράψαι τὴν καταλιποῦσαν ἄνδρα συνοικεῖν ᾧ ἂν βούληται μὴ νεωτέρῳ τοῦ προτέρου· ὁμοίως δὲ κἂν ἀνὴρ ἐκβάλῃ γυναῖκα, μὴ γαμεῖν ἄλλην νεωτέραν

στά σ' ἕναν τέτοιο νόμο γιά τήν ἀναθεώρηση τῆς ὑπάρχουσας νομοθεσίας, ὁ φόβος συγκρατοῦσε τούς κατοπινούς νομοθέτες καί κανείς δέν τολμοῦσε νά προφέρῃ λέξη γιά τροποποίηση τῶν νόμων. Καί σ' ὅλα τά μεταγενέστερα χρόνια στούς Θουρίους μνημονεύονται τρεῖς ὅλοι κι ὅλοι πού πρότειναν τροποποιήσεις κι αὐτοί κάτω ἀπό περιστάσεις πού καθιστοῦσαν ἀναγκαία τήν εἰσήγηση τροπολογιῶν.

4. Ὑπῆρχε λοιπόν ἕνας νόμος πού πρόβλεπε, ἄν κανείς ξεριζώσῃ τό μάτι κάποιου νά ξεριζώνεται καί τό δικό του. Κάποιος μονόφθαλμος πού τοῦ ξερίζωσαν τό μάτι κι ἔμεινε ἐντελῶς τυφλός, ὑποστήριζε, ὅτι ὁ δράστης μέ τό νά χάσῃ τό ἕνα του μάτι, τιμωρεῖται λιγότερο ἀπ' αὐτόν. Γιατί, ἄν τιμωρηθῇ σύμφωνα μέ τόν νόμο ὁ δράστης, ἡ τιμωρία του δέν θά εἶναι ἰσοβαρής ὡς πρός τίς συνέπειες. Τό δίκαιο λοιπόν εἶναι αὐτός πού ἀφαίρεσε ἀπό τόν μονόφθαλμο ὁλόκληρη τήν ὅραση, νά χάσῃ καί τά δυό του μάτια, ἄν πρόκειται νά ὑποστῇ ἴση τιμωρία. 5. Γι' αὐτό καί ὁ μονόφθαλμος, μέσα στόν πόνο του ἀποτόλμησε νά ἐκθέσῃ μπροστά στή συνέλευση τήν συμφορά του, ἀπό τό ἕνα μέρος νά διεκτραγωδήσῃ μπροστά στούς συμπολίτες του τό πάθημά του κι ἀπό τό ἄλλο νά προτείνῃ στά πλήθη τήν τροποποίηση τοῦ νόμου. Τέλος πέρασε τόν τράχηλο στή θηλειά καί, καθώς ἡ πρότασή του ἔγινε ἀποδεκτή, ἀκύρωσαν τόν ὑπάρχοντα νόμο καί ἐπικύρωσαν τήν τροπολογία του. Κι ὁ ἄνθρωπος διέφυγε τό θάνατο μέ τήν ἀγχόνη.

18.

Ἕνας δεύτερος νόμος πού διορθώθηκε ἦταν αὐτός πού ἔδινε τό δικαίωμα στή γυναίκα νά χωρίζῃ τόν ἄντρα καί νά παντρεύεται ὅποιον θέλει. Κάποιος προχωρημένης ἡλικίας, πού εἶχε νεότερη γυναίκα καί ἐγκαταλείφθηκε ἀπ' αὐτήν, εἰσηγήθηκε στούς Θουρίους νά διορθώσουν τόν σχετικό νόμο καί νά προσθέσουν ἡ γυναίκα πού ἐγκαταλείπει τόν ἄντρα της, νά παντρεύεται ὅποιον θέλει, ὄχι ὅμως νεότερον ἀπό τόν προηγούμενο ἄντρα της. Τό ἴδιο κι ὁ ἄντρας, ἄν διώξῃ τή γυναίκα

2 ταύτης τῆς ἐκβληθείσης. εὐστοχήσας δ' ἐν τῇ συμβουλίᾳ καὶ
ἀκυρώσας τὸν πρότερον νόμον διέφυγε τὸν ἐκ τοῦ βρόχου
κίνδυνον· τῆς δὲ γυναικὸς κωλυθείσης νεωτέρῳ συνοικῆσαι,
πάλιν ἔγημε τὸν ἀπολυθέντα.

3 Τρίτος δὲ νόμος διωρθώθη ὁ περὶ τῶν ἐπικλήρων, ὁ καὶ
παρὰ Σόλωνι κείμενος. ἐκέλευε γὰρ τῇ ἐπικλήρῳ ἐπιδικά-
ζεσθαι τὸν ἔγγιστα γένους, ὡσαύτως δὲ καὶ τὴν ἐπίκληρον
ἐπιδικάζεσθαι τῷ ἀγχιστεῖ, ᾧ ἦν ἀνάγκη συνοικεῖν ἢ πεν-
τακοσίας ἐκτῖσαι δραχμὰς εἰς προικὸς λόγον τῇ πενιχρᾷ
4 ἐπικλήρῳ. ὀρφανὴ γάρ τις εὐγενὴς ἐπίκληρος, ἀπορουμένη
παντελῶς τῶν κατὰ τὸν βίον καὶ διὰ τὴν πενίαν οὐ δυναμένη
συνοικῆσαι, κατέφυγεν ἐπὶ τὸν δῆμον, καὶ μετὰ δακρύων
ἐκθεμένη τὴν ἑαυτῆς ἐρημίαν τε καὶ καταφρόνησιν, πρὸς δὲ
τούτοις ὑπογραψαμένη τὴν διόρθωσιν τοῦ νόμου, ὥστε ἀντὶ
τῆς ἐκτίσεως τῶν πεντακοσίων δραχμῶν γράψαι συνοικεῖν
κατ' ἀνάγκην τὸν ἄγχιστα γένους τῇ ἐπιδικασθείσῃ ἐπι-
κλήρῳ· τοῦ δὲ δήμου διὰ τὸν ἔλεον ψηφισαμένου διορθῶσαι
τὸν νόμον, ἡ μὲν ὀρφανὴ τὸν ἐκ τοῦ βρόχου κίνδυνον ἐξέ-
φυγεν, ὁ δ' ἀγχιστεὺς πλούσιος ὢν ἠναγκάσθη γῆμαι γυ-
ναῖκα πενιχρὰν ἐπίκληρον ἄνευ προικός.

19. Λείπεται δ' ἡμῖν εἰπεῖν ὑπὲρ τῆς τοῦ Χαρώνδου τε-
λευτῆς, καθ' ἣν ἴδιόν τι καὶ παράδοξον αὐτῷ συνέβη. ἐπὶ
γὰρ τὴν χώραν ἐξιὼν μετὰ ξιφιδίου διὰ τοὺς λῃστάς, καὶ
κατὰ τὴν ἐπάνοδον ἐκκλησίας συνεστώσης καὶ ταραχῆς ἐν
τοῖς πλήθεσι, προσέστη πολυπραγμονῶν τὰ κατὰ τὴν στάσιν.
2 νενομοθετηκὼς δ' ἦν μηδένα μεθ' ὅπλου ἐκκλησιάζειν, καὶ
ἐπιλαθόμενος ὅτι τὸ ξίφος παρέζωσται, παρέδωκεν ἐχθροῖς

του, νά μήν ἔχη τό δικαίωμα νά νυμφευθῆ γυναίκα νεότερη ἀπ' αὐτήν πού ἔδιωξε. 2. Κι ὁ ἄνθρωπος πέτυχε νά γίνη δεκτή ἡ εἰσήγησή του, ἀκύρωσε τόν προηγούμενο νόμο καί διέφυγε τόν κίνδυνο τῆς ἀγχόνης. Κι ἡ γυναίκα του, πού ἐμποδιζόταν τώρα ἀπ' τό νόμο νά παντρευτῆ νεότερον ἄντρα, παντρεύτηκε πάλι τόν ἴδιο πού ἔδιωξε.

3. Ἕνας τρίτος νόμος που τροποποιήθηκε, εἶναι ὁ νόμος γιά τίς ἐπικλήρους[12], πού ὑπάρχει καί στή νομοθεσία τοῦ Σόλωνα. Ὁ Χαρώνδας ὅριζε, ὅτι ἡ ἐπίκληρος ἀνήκει στόν πλησιέστερο συγγενῆ της, ὁ ὁποῖος ἦταν ὑποχρεωμένος νά τήν νυμφευθῆ ἤ, ἄν ἦταν φτωχή, νά τῆς καταβάλη πεντακόσιες δραχμές γιά προῖκα. 4. Κάποια λοιπόν ὀρφανή ἐπίκληρος ἀπό καλή οἰκογένεια, πού ἦταν ὅμως τελείως ἄπορη καί γιά τό λόγο αὐτό δέν μποροῦσε νά παντρευτῆ, κατέφυγε στό λαό καί μέ δάκρυα περιέγραψε πόσο ἦταν ἔρημη καί καταφρονεμένη. Καί ὑπέγραψε μιά τροπολογία τοῦ σχετικοῦ νόμου πού εἰσηγήθηκε, ἀντί δηλ. νά πληρώνη τίς πεντακόσιες δραχμές ὁ πλησιέστερος συγγενής, νά ὑποχρεώνεται ὁπωσδήποτε νά νυμφεύεται τήν ἐπίκληρο. Ὁ λαός ἀπό οἶκτο ἐνέκρινε τήν τροπολογία της κι ἡ ὀρφανή γλύτωσε ἀπό τήν ἀγχόνη, ἐνῶ ὁ πλησιέστερος συγγενής της, πού ἦταν πλούσιος, ἀναγκάσθηκε νά παντρευτῆ μιά φτωχή ἐπίκληρο χωρίς προῖκα.

19.

Μᾶς ἀπομένει ἀκόμα νά μιλήσωμε γιά τόν θάνατο τοῦ Χαρώνδα, πού παρουσιάζει κάτι τό ἰδιαίτερο καί παράδοξο. Βγῆκε λοιπόν στήν ὕπαιθρο φέροντας ἕνα ξιφίδιο ἐξ αἰτίας τῶν ληστῶν καί κατά τήν ἐπιστροφή του βρῆκε συνηγμένη τή συνέλευση καί τό λαό μέσα σέ μεγάλη ταραχή. 2. Πλησίασε λοιπόν καί ζητοῦσε νά μάθη τήν αἰτία τῆς ἀναταραχῆς. Στό μεταξύ ὁ ἴδιος εἶχε νομοθετήσει νά μήν προσέρχεται κανένας στήν ἐκκλησία ὁπλισμένος, καί καθώς εἶχε λησμονήσει ὅτι εἶχε

12. Μονογενής θυγάτηρ, κληρονόμος τῆς πατρικῆς περιουσίας.

τισιν ἀφορμὴν κατηγορίας. ὧν ἑνὸς εἰπόντος Καταλέλυ-
κας τὸν ἴδιον νόμον, Μὰ Δι', εἶπεν, ἀλλὰ κύριον ποιήσω· καὶ
σπασάμενος τὸ ξιφίδιον ἑαυτὸν ἀπέσφαξεν. ἔνιοι δὲ τῶν
συγγραφέων τὴν πρᾶξιν ταύτην περιτιθέασι Διοκλεῖ τῷ Συ-
ρακοσίων νομοθέτῃ.

3 Ἡμεῖς δὲ ἀρκούντως τὰ περὶ Χαρώνδαν τὸν νομοθέτην
διεληλυθότες βραχέα βουλόμεθα καὶ περὶ Ζαλεύκου τοῦ νο-
μοθέτου διελθεῖν διά τε τὴν ὁμοίαν προαίρεσιν τοῦ βίου καὶ
τὸ γεγονέναι τοὺς ἄνδρας ἐν πόλεσιν ἀστυγείτοσιν.

20. Ζάλευκος τοίνυν ἦν τὸ γένος ἐκ τῆς Ἰταλίας Λοκρός,
ἀνὴρ εὐγενὴς καὶ κατὰ παιδείαν τεθαυμασμένος, μαθητὴς
δὲ Πυθαγόρου τοῦ φιλοσόφου. οὗτος πολλῆς ἀποδοχῆς
τυγχάνων ἐν τῇ πατρίδι νομοθέτης ᾑρέθη, καὶ καταβαλό-
μενος ἐξ ἀρχῆς καινὴν νομοθεσίαν ἤρξατο πρῶτον περὶ
2 τῶν ἐπουρανίων θεῶν. εὐθὺς γὰρ ἐν τῷ προοιμίῳ τῆς ὅλης
νομοθεσίας ἔφη δεῖν τοὺς κατοικοῦντας ἐν τῇ πόλει πάντων
πρῶτον ὑπολαβεῖν καὶ πεπεῖσθαι θεοὺς εἶναι, καὶ ταῖς δια-
νοίαις ἐπισκοποῦντας τὸν οὐρανὸν καὶ τὴν διακόσμησιν καὶ
τάξιν κρίνειν οὐ τύχης οὐδ' ἀνθρώπων εἶναι ταῦτα κατα-
σκευάσματα, σέβεσθαί τε τοὺς θεούς, ὡς πάντων τῶν ἐν τῷ
βίῳ καλῶν καὶ ἀγαθῶν αἰτίους ὄντας τοῖς ἀνθρώποις, ἔχειν
δὲ καὶ τὴν ψυχὴν καθαρὰν πάσης κακίας, ὡς τῶν θεῶν οὐ
χαιρόντων ταῖς τῶν πονηρῶν θυσίαις τε καὶ δαπάναις, ἀλλὰ
ταῖς τῶν ἀγαθῶν ἀνδρῶν δικαίαις τε καὶ καλαῖς ἐπιτηδεύ-
3 σεσι. διὰ δὲ τοῦ προοιμίου προκαλεσάμενος τοὺς πολίτας εἰς
εὐσέβειαν καὶ δικαιοσύνην, ἐπέζευξε προστάττων μηδένα
τῶν πολιτῶν ἐχθρὸν ἀκατάλλακτον ἔχειν, ἀλλ' οὕτω τὴν

στή μέση του ζωσμένο τό ξίφος, ἔδωσε στούς ἐχθρούς του τήν εὐκαιρία νά τόν κατηγορήσουν. Καί, ὅταν ἕνας ἀπ' αὐτούς τοῦ εἶπε: «Κατέλυσες τόν ἴδιο σου τό νόμο», ἀπάντησε: «Μά τόν Δία, ἀλλά θά τόν ἀποκαταστήσω». Καί σύροντας τό ξίφος του σφάχτηκε ἐπί τόπου. Μερικοί ἱστορικοί ἀποδίδουν αὐτήν τήν πράξη στόν Διοκλῆ, τό νομοθέτη τῶν Συρακοσίων.

3. Τώρα πού διηγηθήκαμε ἀρκετά γιά τόν Χαρώνδα τό νομοθέτη, ἐπιθυμοῦμε νά ἀναφερθοῦμε σύντομα καί στόν νομοθέτη Ζάλευκο καί γιατί εἶχε κι αὐτός παρόμοιες ἀρχές στή ζωή του, ἀλλά καί γιατί καί οἱ δύο ἄντρες ἔζησαν σέ γειτονικές πόλεις.

20.

Ὁ Ζάλευκος ἦταν Λοκρός ἀπό τήν Ἰταλία, εὐγενής τήν καταγωγή καί ἀξιοθαύμαστος γιά τήν μόρφωσή του, μαθητής τοῦ φιλοσόφου Πυθαγόρα. Ὁ Ζάλευκος λοιπόν εἶχε μεγάλη ἐκτίμηση στήν πατρίδα του καί ἐκλέχθηκε νομοθέτης. Αὐτός ἐπεξεργάσθηκε ἕνα νέο νομοθετικό σύστημα ἀπό τήν ἀρχή ξεκινώντας ἀπό τούς οὐράνιους θεούς. 2. Στό προοίμιο τῆς ὅλης νομοθεσίας του δηλώνει πώς εἶναι ἀνάγκη οἱ κάτοικοι τῆς πόλεως πρῶτα ἀπ' ὅλα νά ἔχουν ὡς ἄρθρο τῆς πίστεώς τους τήν ὕπαρξη θεῶν καί ἐξετάζοντας μέ τό λογισμό τους στόν οὐρανό καί τήν παγκόσμια τάξη καί ἁρμονία νά ἀποφαίνωνται, ὅτι ὅλα αὐτά δέν εἶναι ἔργα τῆς τύχης οὔτε κατασκευάσματα τῶν ἀνθρώπων καί νά σέβωνται τούς θεούς, γιατί αὐτοί εἶναι οἱ αἴτιοι ὅλων τῶν ὡραίων καί τῶν ἀγαθῶν στή ζωή τῶν ἀνθρώπων. Ἐπίσης νά ἔχουν τήν ψυχή καθαρή ἀπό κάθε κακία, γιατί οἱ θεοί δέν εὐχαριστοῦνται οὔτε μέ τίς θυσίες τῶν πονηρῶν ἀνθρώπων οὔτε μέ τίς δαπάνες τους, ἀλλά μόνο μέ τήν ἔντιμη καί δίκαιη συμπεριφορά τῶν ἀγαθῶν ἀνθρώπων. 3. Ἀφοῦ λοιπόν μέ τήν εἰσαγωγή του κάλεσε τούς πολίτες στήν εὐσέβεια καί τήν δικαιοσύνη, συνεχίζει μέ τήν ἐντολή νά μή θεωροῦν κανέναν ἀπό τούς συμπολίτες τους ἀσυμφιλίωτον ἐχθρό, ἀλλά ἡ ἔχθρα τους νά φθάνη ὥς ἐκεῖνο τό σημεῖο, πού

ἔχθραν ἀναλαμβάνειν ὡς ἥξοντα πάλιν εἰς σύλλυσιν καὶ φιλίαν· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα διαλαμβάνεσθαι παρὰ τοῖς πολίταις ἀνήμερον καὶ ἄγριον τὴν ψυχήν. τοὺς δὲ ἄρχοντας παρεκελεύετο μὴ εἶναι αὐθάδεις μηδὲ ὑπερηφάνους, μηδὲ κρίνειν πρὸς ἔχθραν ἢ φιλίαν. ἐν δὲ τοῖς κατὰ μέρος νομοθετήμασι πολλὰ παρ' ἑαυτοῦ προσεξεῦρε μάλα σοφῶς καὶ περιττῶς.

21. Τῶν γὰρ ἄλλων ἁπάντων ἁμαρτανουσῶν γυναικῶν ἀργυρικὰς ζημίας τεταχότων οὗτος φιλοτέχνῳ προστίμῳ τὰς ἀκολασίας αὐτῶν διωρθώσατο. ἔγραψε γὰρ οὕτω· γυναικὶ ἐλευθέρᾳ μὴ πλείω ἀκολουθεῖν μιᾶς θεραπαινίδος, ἐὰν μὴ μεθύῃ, μηδὲ ἐξιέναι νυκτὸς ἐκ τῆς πόλεως εἰ μὴ μοιχευομένην, μηδὲ περιτίθεσθαι χρυσία μηδὲ ἐσθῆτα παρυφασμένην, ἐὰν μὴ ἑταίρα ᾖ, μηδὲ τὸν ἄνδρα φορεῖν δακτύλιον ὑπόχρυσον μηδὲ ἱμάτιον ἰσομιλήσιον, ἐὰν μὴ ἑται-
2 *ρεύηται ἢ μοιχεύηται. διὸ καὶ ῥᾳδίως ταῖς τῶν προστίμων αἰσχραῖς ὑπεξαιρέσεσιν ἀπέτρεψε τῆς βλαβερᾶς τρυφῆς καὶ ἀκολασίας τῶν ἐπιτηδευμάτων· οὐδεὶς γὰρ ἐβούλετο τὴν αἰσχρὰν ἀκολασίαν ὁμολογήσας καταγέλαστος ἐν τοῖς πο-*
3 *λίταις εἶναι. πολλὰ δὲ καὶ ἄλλα τῶν συμβολαίων καὶ τῶν ἄλλων τῶν κατὰ τὸν βίον ἀμφισβητουμένων καλῶς ἐνομοθέτησε, περὶ ὧν ἡμῖν μακρὸν ἂν εἴη γράφειν καὶ τῆς ὑποκειμένης ἱστορίας ἀνοίκειον· διόπερ ἐπὶ τὰ συνεχῆ τοῖς προειρημένοις ἀναβιβάσομεν τὸν λόγον.*

δέν θά τούς ἀποκλείη νά ἔλθουν πάλι σέ συνδιαλλαγή καί νά γίνουν φίλοι. Κι ὅποιος ἐνεργεῖ ἀντίθετα πρός αὐτό τό πνεῦμα, νά θεωρῆται ἀπό τούς συμπολίτες του ἄγριος κι ἀνήμερος στήν ψυχή. Στούς ἄρχοντες συνιστοῦσε νά μήν εἶναι αὐθάδεις οὔτε ὑπερήφανοι, μήτε νά κρίνουν μέ γνώμονα τή φιλία ἤ τήν ἔχθρα. Πολλές ἀπό τίς ἐπί μέρους διατάξεις του ἀποτελοῦν εὐφυεῖς καί πρωτότυπες ἐπινοήσεις δικές του.

21.

Ἐπί παραδείγματι, ἐνῶ ὅλοι οἱ ἄλλοι νομοθέτες ὅρισαν χρηματικό πρόστιμο γιά τίς ἁμαρτωλές γυναῖκες, αὐτός ἔθεσε τέρμα στίς ἀκολασίες αὐτῶν τῶν γυναικῶν καθιερώνοντας μιά ἔξυπνη ποινή. Θέσπισε δηλ. τόν ἀκόλουθο νόμο: Ἐλεύθερη γυναίκα νά μή συνοδεύεται παραπάνω ἀπό μιά θεραπαινίδα, ἐκτός ἄν εἶναι μεθυσμένη. Οὔτε νά βγαίνη νύκτα ἔξω ἀπό τήν πόλη, ἐκτός ἄν μοιχεύεται, μήτε νά φορῆ χρυσᾶ κοσμήματα καί φορέματα μέ πορφυρῆ μπορντούρα, ἐκτός ἄν εἶναι ἑταίρα. Κι οὔτε κανείς ἄντρας νά φορῆ ἐπίχρυσο δαχτυλίδι οὔτε ἔνδυμα ἀπό τή Μίλητο[13], ἐκτός ἄν πορνεύεται ἤ μοιχεύεται. 2. Γι' αὐτό μέ τίς ἐπαίσχυντες ἐξαιρέσεις ἀπό τήν ἐνοχή εὔκολα ἀπέτρεψε τούς ἀνθρώπους ἀπό τήν ἀκολασία καί τή θλιβερή χλιδή μιᾶς ζωῆς αἰσχρῆς. Γιατί κανείς δέν ἤθελε νά ὁμολογήση ἔμπρακτα τήν ἐπαίσχυντη ἀκολασία του καί νά γίνη καταγέλαστος μεταξύ τῶν συμπολιτῶν του. 3. Θέσπισε ἐπίσης καί πολλούς ἄλλους ἐξαίρετους νόμους σχετικά μέ τή σύναψη συμβολαίων καί ἄλλα θέματα πού δημιουργοῦν προστριβές μεταξύ τῶν ἀνθρώπων στήν κοινωνική ζωή. Ἀλλά, ἄν γράφαμε γιά ὅλα αὐτά, θά πηγαίναμε πολύ μακριά, ἔξω ἀπό τά ὅρια τοῦ θέματός μας. Γι' αὐτό θά ἐπαναφέρωμε τή διήγηση στή συνέχεια τῶν γεγονότων.

13. Ἡ Μίλητος στήν ἀρχαιότητα ἦταν ὀνομαστή γιά τήν πολυτέλεια καί τή χλιδή τῶν κατοίκων της.

*22. Ἐπ' ἄρχοντος γὰρ Ἀθήνησι Λυσιμαχίδου Ῥωμαῖοι
μὲν ὑπάτους κατέστησαν Τίτον Μενήνιον καὶ Πόπλιον Σή-
στιον Καπετωλῖνον. ἐπὶ δὲ τούτων διαφεύγοντες τὸν ἐν τῇ
στάσει κίνδυνον Συβαρῖται περὶ τὸν Τράεντα ποταμὸν
κατῴκησαν. καὶ χρόνον μέν τινα διέμειναν, ἔπειθ' ὑπὸ Βρετ-*
2 *τίων ἐκβληθέντες ἀνῃρέθησαν. κατὰ δὲ τὴν Ἑλλάδα Ἀθη-
ναῖοι τὴν Εὔβοιαν ἀνακτησάμενοι καὶ τοὺς Ἑστιαιεῖς ἐκ τῆς
πόλεως ἐκβαλόντες ἰδίαν ἀποικίαν εἰς αὐτὴν ἐξέπεμψαν
Περικλέους στρατηγοῦντος, χιλίους δὲ οἰκήτορας ἐκπέμ-
ψαντες τήν τε πόλιν καὶ τὴν χώραν κατεκληρούχησαν.*

*23. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Πραξιτέλους Ὀλυμπιὰς μὲν
ἤχθη τετάρτη πρὸς ταῖς ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον
Κρίσων Ἱμεραῖος, ἐν δὲ τῇ Ῥώμῃ δέκα ἄνδρες κατεστάθη-
σαν νομογράφοι, Πόπλιος Κλώδιος Ῥηγιλλανός, Τίτος Μι-
νύκιος, Σπόριος Οὐετούριος, Γάιος Ἰούλιος, Γάιος Σουλπί-
κιος, Πόπλιος Σήστιος, Ῥωμύλος, Σπόριος Ποστούμιος*
2 *Καλβίνιος. οὗτοι τοὺς νόμους συνετέλεσαν. ἐπὶ δὲ τούτων
Θούριοι μὲν διαπολεμοῦντες πρὸς Ταραντίνους τὰς ἀλλή-
λων χώρας ἐπόρθουν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ
πολλὰς μὲν μικρὰς μάχας καὶ ἀκροβολισμοὺς ἐποιήσαντο,
ἀξιόλογον δὲ πρᾶξιν οὐδεμίαν συνετέλεσαν.*

24. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Λυσανίου Ῥωμαῖοι πάλιν δέκα ἄνδρας νομοθέτας εἵλοντο, Ἄππιον Κλώδιον, Μάρκον Κορνήλιον, Λεύκιον Μινύκιον, Γάιον Σέργιον, Κόιντον

22.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Λυσιμαχίδης, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Τίτο Μενήνιο καί τόν Πόπλιο Σήστιο Καπιτωλῖνο. Αὐτήν τή χρονιά οἱ Συβαρίτες πού ἔφυγαν γιά ν' ἀποφύγουν τούς μεγάλους κινδύνους ἀπ' τόν ἐμφύλιο πόλεμο, κατοίκησαν κοντά στόν Τράεντα ποταμό. Ἔμειναν ἐκεῖ γιά κάμποσο καιρό, ἀλλά ἀργότερα διώχτηκαν ἀπό τούς Βρεττίους καί καταστράφηκαν. 2. Στήν Ἑλλάδα πάλι οἱ Ἀθηναῖοι ἀνέκτησαν τήν Εὔβοια, ἔδιωξαν τούς Ἑστιαιεῖς ἀπό τήν πόλη καί ἵδρυσαν ἐκεῖ δική τους ἀποικία μέ στρατηγό τόν Περικλῆ καί μοίρασαν σέ κλήρους τήν πόλη καί τήν ὕπαιθρο μεταξύ τῶν χιλίων ἀποίκων, τούς ὁποίους ἔστειλαν.

23.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Πραξιτέλης, ὀργανώθηκε ἡ ὀγδοηκοστή τετάρτη Ὀλυμπιάδα, κατά τήν ὁποία νίκησε στόν ἀγώνα δρόμου ἑνός σταδίου ὁ Κρίσων ὁ Ἱμεραῖος, ἐνῶ στή Ρώμη ἐκλέχθηκαν δέκα ἄνδρες[14] γιά τή σύνταξη νόμων: Ὁ Πόπλιος Κλαύδιος Ρηγιλλανός, ὁ Τίτος Μινύκιος, ὁ Σπόριος Βετούριος, ὁ Γάιος Ἰούλιος, ὁ Γάιος Σουλπίκιος, ὁ Πόπλιος Σήστιος, ὁ Ρωμύλος, ὁ Σπόριος Ποστούμιος Καλβίνιος[15]. Αὐτοί συνέταξαν τούς νόμους. 2. Αὐτήν τή χρονιά οἱ Θούριοι ἐξακολουθοῦσαν νά πολεμοῦν μέ τούς Ταραντίνους καί λεηλατοῦσαν ὁ ἕνας τή χώρα τοῦ ἄλλου καί κατά ξηρά καί κατά θάλασσα. Καί συνῆψαν πολλές μικρές μάχες καί ἀψιμαχίες, ἀλλά δέν ἐπιτέλεσαν κανένα ἀξιόλογο κατόρθωμα.

24.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Λυσανίας, οἱ Ρωμαῖοι ἐξέλεξαν πάλι δέκα νομοθέτες, τόν Ἄππιο Κλαύδιο, τόν Μάρκο Κορνήλιο, τόν Λεύκιο Μινύκιο, τόν Γάιο Σέργιο, τόν Κόιντο

14. Ἡ περίφημη Δεκαρχία (Decemviri)

15. Ὁ Διόδωρος παραλείπει τά ὀνόματα δύο ἀνδρῶν τῆς Δεκαρχίας, τοῦ A. Manlius Vulso καί τοῦ P. Curiatius.

2 *Πόπλιον, Μάνιον Ῥαβολήιον, Σπόριον Οὐετούριον. οὗτοι*
δὲ τοὺς νόμους οὐκ ἠδυνήθησαν συντελέσαι. εἷς δ' ἐξ αὐτῶν
ἐρασθεὶς εὐγενοῦς παρθένου πενιχρᾶς, τὸ μὲν πρῶτον χρή-
μασι διαφθεῖραι τὴν κόρην ἐπεβάλετο, ὡς δ' οὐ προσεῖχεν
αὐτῷ, ἐπαπέστειλε συκοφάντην ἐπ' αὐτήν, προστάξας ἄγειν
3 *εἰς δουλείαν. τοῦ δὲ συκοφάντου φήσαντος ἰδίαν αὑτοῦ*
εἶναι δούλην καὶ πρὸς τὸν ἄρχοντα καταστήσαντος προσα-
γαγὼν δουλαγωγουμένην, κατηγόρησεν ὡς δούλης. τοῦ δὲ
διακούσαντος τῆς κατηγορίας καὶ τὴν κόρην ἐγχειρίσαντος,
ἐπιλαβόμενος ὁ συκοφάντης ἀπῆγεν ὡς ἰδίαν δούλην.

4 *Ὁ δὲ πατὴρ τῆς παρθένου παρὼν καὶ δεινοπαθῶν, ὡς*
οὐδεὶς αὐτῷ προσεῖχε, παραπορευόμενος κατὰ τύχην παρὰ
κρεοπώλιον, ἁρπάσας τὴν παρακειμένην ἐπὶ τῆς σανίδος κο-
πίδα, ταύτῃ πατάξας τὴν θυγατέρα ἀπέκτεινεν, ἵνα μὴ τῆς
ὕβρεως λάβῃ πεῖραν, αὐτὸς δ' ἐκ τῆς πόλεως ἐκπηδήσας
ἀπῆλθε πρὸς τὸ στρατόπεδον τὸ ἐν τῷ Ἀλγίδῳ καλουμένῳ
5 *τότε ὑπάρχον. καταφυγὼν δὲ ἐπὶ τὸ πλῆθος καὶ μετὰ δα-*
κρύων τὴν καθ' αὑτὸν συμφορὰν ἀπαγγείλας, ἅπαντας
ἤγαγεν εἰς ἔλεον καὶ πολλὴν συμπάθειαν. πάντων δ' ἐπι-
βοηθεῖν τοῖς ἠτυχηκόσιν ὁρμησάντων, μετὰ τῶν ὅπλων
νυκτὸς εἰς τὴν Ῥώμην εἰσέπεσον. οὗτοι μὲν οὖν κατελά-
βοντο λόφον τὸν ὀνομαζόμενον Ἀουεντῖνον.

25. Ἅμα δ' ἡμέρᾳ γνωσθείσης τῆς τῶν στρατιωτῶν μισο-πονηρίας οἱ μὲν δέκα νομογράφοι βοηθοῦντες τῷ συνάρχοντι συνῆγον πολλοὺς τῶν νέων, ὡς διὰ τῶν ὅπλων κριθησόμενοι· μεγάλης δ' ἐμπεσούσης φιλοτιμίας οἱ χαριέστατοι τῶν πολιτῶν, προορώμενοι τὸ μέγεθος τοῦ κινδύνου, διεπρεσβεύσαντο πρὸς ἀμφοτέρους περὶ συλλύσεως, καὶ μετὰ

Πόπλιο, τόν Μάνιο Ραβολήιο καί τόν Σπόριο Βετούριο. 2. Αὐτοί δέν μπόρεσαν νά συμπληρώσουν τήν κωδικοποίηση τῶν νόμων. Ἕνας ἀπ' αὐτούς[16] ἐρωτεύτηκε μιά φτωχή κοπέλλα, ἀλλά ἀπό καλή οἰκογένεια καί προσπάθησε στήν ἀρχή νά τήν διαφθείρη μέ χρήματα. Ἐπειδή ὅμως αὐτή δέν τοῦ ἔδινε σημασία, ἔστειλε στό σπίτι της ἕναν πράκτορά του μέ τήν ἐντολή νά τήν κάμη δούλη. 3. Ὁ πράκτωρ ἰσχυρίσθηκε ὅτι εἶναι δική του δούλη καί τήν παρουσίασε ὡς τέτοια στόν ἄρχοντα, στήν αὐλή τοῦ ὁποίου παρουσιάσθηκε ὁ Ἄππιος καί τήν κατηγόρησε ὡς δούλη του. Κι ὅταν ὁ ἄρχων ἄκουσε τήν κατηγορία καί παρέδωσε τήν κοπέλλα σ' αὐτόν, ὁ πράκτωρ τήν ἀπήγαγε ὡς δική του δούλη.

4. Ὁ πατέρας τῆς κοπέλλας πού ἦταν παρών στή σκηνή αὐτή καί ὑπέφερε φοβερά ἀπό τήν ἀδικία, καθώς κανείς δέν τοῦ ἔδινε σημασία, περνώντας κατά σύμπτωση ἀπό ἕνα κρεοπωλεῖο κι ἁρπάζοντας ἕνα μαχαίρι πού ἦταν πάνω στό κρεατοσάνιδο, χτύπησε τή θυγατέρα του μ' αὐτό καί τή σκότωσε, γιά νά μή δοκιμάση τό βιασμό πού τήν περίμενε, κι αὐτός διέφυγε ἔξω ἀπό τή πόλη καί πῆγε στό στρατό, πού ἦταν στρατοπεδευμένος τότε στό ὄρος Ἄλγιδο, ὅπως ὀνομαζόταν. 5. Ἐκεῖ μπροστά στό πλῆθος τῶν στρατιωτῶν μέ δάκρυα στά μάτια ἐξιστόρησε τή συμφορά πού τόν βρῆκε καί προκάλεσε τόν οἶκτο καί τή συμπάθεια ὅλων. Ὁλόκληρο τό στρατόπεδο ὅρμησε νά βοηθήση τούς δυστυχεῖς καί εἰσέβαλε μέ τά ὅπλα διά νυκτός στή Ρώμη. Κι ἐκεῖ κατέλαβαν τόν Ἀβεντῖνο λόφο, ὅπως τόν ἔλεγαν.

25.

Ὅταν κατά τά ξημερώματα μαθεύτηκε ἡ ἀπέχθεια τῶν στρατιωτῶν πρός τήν κακία, οἱ δέκα νομογράφοι ἔσπευσαν νά βοηθήσουν τόν συνάρχοντά τους καί συγκέντρωναν πολλούς νέους, γιά νά μετρηθοῦν μέ τά ὅπλα. Καί καθώς τά πνεύματα ἦταν ἐξημμένα, οἱ πιό ἀξιοσέβαστοι πολίτες, προβλέποντας τό μέγεθος τοῦ κινδύνου, διαπραγματεύονταν πρός τίς δύο ἀντίπαλες

16. Ὁ Ἄππιος Κλαύδιος.

πολλῆς σπουδῆς ἐδέοντο λῆξαι τῆς στάσεως καὶ μὴ περιβα-
2 *λεῖν τὴν πατρίδα μεγάλαις συμφοραῖς. τέλος δὲ πεισθέντων*
ἁπάντων ὁμολογίας ἔθεντο πρὸς ἀλλήλους, ὥστε δέκα
αἱρεῖσθαι δημάρχους μεγίστας ἔχοντας ἐξουσίας τῶν κατὰ
τὴν πόλιν ἀρχόντων, καὶ τούτους ὑπάρχειν οἱονεὶ φύλακας
τῆς τῶν πολιτῶν ἐλευθερίας· τῶν δὲ κατ' ἐνιαυτὸν γινομένων
ὑπάτων τὸν μὲν ἕνα ἐκ τῶν πατρικίων αἱρεῖσθαι, καὶ τὸν ἕνα
πάντως ἀπὸ τοῦ πλήθους καθίστασθαι, ἐξουσίας οὔσης τῷ
δήμῳ καὶ ἀμφοτέρους τοὺς ὑπάτους ἐκ τοῦ πλήθους
3 *αἱρεῖσθαι. τοῦτο δ' ἔπραξαν ταπεινῶσαι σπεύδοντες τὴν*
τῶν πατρικίων ὑπεροχήν· οἱ γὰρ ἄνδρες οὗτοι διά τε τὴν
εὐγένειαν καὶ τὸ μέγεθος τῆς ἐκ τῶν προγόνων αὐτοῖς πα-
ρακολουθούσης δόξης ὡσεί τινες κύριοι τῆς πόλεως
ὑπῆρχον. ἐν δὲ ταῖς ὁμολογίαις προσέκειτο τοῖς ἄρξασι δη-
μάρχοις τὸν ἐνιαυτόν, ἀντικαθιστάναι πάλιν δημάρχους
τοὺς ἴσους ἢ τοῦτο μὴ πράξαντας ζῶντας κατακαυθῆναι·
ἐὰν δὲ οἱ δήμαρχοι μὴ συμφωνῶσι πρὸς ἀλλήλους, κύριοι
εἶναι τὸν ἀνὰ μέσον κείμενον μὴ κωλύεσθαι. τὴν μὲν οὖν ἐν
Ῥώμῃ στάσιν τοιαύτης συλλύσεως τυχεῖν συνέβη.

26. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Διφίλου Ῥωμαῖοι κατέστησαν ὑπάτους Μάρκον Ὁράτιον καὶ Λεύκιον Οὐαλέριον Τούρπινον. ἐπὶ δὲ τούτων, ἐν τῇ Ῥώμῃ τῆς νομοθεσίας διὰ τὴν στάσιν ἀσυντελέστου γενομένης, οἱ ὕπατοι συνετέλεσαν αὐτήν· τῶν γὰρ καλουμένων δώδεκα πινάκων οἱ μὲν δέκα συνετελέσθησαν, τοὺς δ' ὑπολειπομένους δύο ἀνέγραψαν οἱ ὕπατοι. καὶ τελεσθείσης τῆς ὑποκειμένης νομοθεσίας, ταύτην εἰς δώδεκα χαλκοῦς πίνακας χαράξαντες οἱ ὕπατοι προσήλωσαν τοῖς πρὸ τοῦ βουλευτηρίου τότε κειμένοις ἐμβό-

παρατάξεις γιά συμφιλίωση καί τούς παρακαλοῦσαν μέ θέρμη νά σταματήσουν τήν ἐμφύλια σύρραξη καί νά μήν προκαλέσουν στήν πατρίδα μεγάλες συμφορές. 2. Στό τέλος πείσθηκαν ὅλοι καί ἦρθαν σέ συμφωνία μεταξύ τους νά ἐκλέγωνται δέκα δήμαρχοι περιβεβλημένοι μέ μεγίστη ἐξουσία μεταξύ τῶν ἀρχόντων τῆς πόλεως, καί νά εἶναι αὐτοί τρόπον τινά φρουροί τῆς ἐλευθερίας τῶν πολιτῶν. Κι ἀπό τούς ὑπάτους πού ἐκλέγονται κάθε χρόνο, ὁ ἕνας νά ἐκλέγεται ἀπό τούς πατρικίους καί ὁ ἄλλος ὁπωσδήποτε νά προέρχεται ἀπό τούς πληβείους, κι ὁ λαός νά ἔχη τή δύναμη νά ἀναδεικνύη καί τούς δυό ὑπάτους ἀπό τούς πληβείους. 3. Αὐτό τό ἔκαναν γιατί ἐπιθυμοῦσαν νά μειώσουν τήν ὑπεροχή τῶν πατρικίων. Γιατί οἱ πατρίκιοι μέ τήν εὐγένεια τῆς καταγωγῆς τους καί τό μέγεθος τῆς προγονικῆς δόξας πού τούς συνοδεύει, ἦταν τρόπον τινά κύριοι τῆς πόλεως. Στή συμφωνία εἶχε προστεθῆ ὁ ὅρος, οἱ δήμαρχοι πού ὑπηρέτησαν τήν ἐτήσια θητεία τους, νά ἀντικαθίστανται πάλι ἀπό ἰσάριθμους δημάρχους, κι ἄν δέν τό πράξουν αὐτό, νά καοῦν ζωντανοί[17]. Καί στήν περίπτωση πού οἱ δήμαρχοι δέν συμφωνοῦν μεταξύ τους, νά μήν ἐμποδίζεται ἡ θέληση τοῦ δημάρχου μέ μιά ἐνδιάμεση γνώμη. Αὐτή λοιπόν ὑπῆρξε ἡ συνδιαλλαγή, στήν ὁποία κατέληξε ἡ ἐμφύλια διαμάχη στή Ρώμη.

26.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Δίφιλος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Μάρκο Ὁράτιο καί τόν Λεύκιο Βαλέριο Τούρπινο. Αὐτήν τή χρονιά, καθώς ἡ νομοθεσία εἶχε μείνει ἀτελείωτη ἐξ αἰτίας τῆς στάσεως, τήν ἀποτελείωσαν οἱ ὕπατοι. Ἀπό τήν λεγομένη δωδεκάδελτο οἱ δέκα εἶχαν συνταχθῆ, καί τούς ὑπόλοιπους δύο τούς συνέταξαν οἱ ὕπατοι. Καί ὅταν συντελέσθηκε ἡ νομοθεσία αὐτή, τήν χάραξαν οἱ ὕπατοι σέ δώδεκα χάλκινους πίνακες καί τούς κάρφωσαν μπροστά στό βουλευτήριο, πάνω σέ ἔμβολα πού εἶχαν τοποθετηθῆ. Κι ἡ νο-

17. Ἕνας τέτοιος νόμος ἀναφέρεται μόνο ἀπό τόν Διόδωρο. Δέν ὑπάρχει ἄλλη σχετική πηγή.

λοις. ἡ δὲ γραφεῖσα νομοθεσία, βραχέως καὶ ἀπερίττως
συγκειμένη, διέμεινε θαυμαζομένη μέχρι τῶν καθ' ἡμᾶς
καιρῶν.

2 *Τούτων δὲ πραττομένων τὰ πλεῖστα τῶν κατὰ τὴν οἰκου-*
μένην ἐθνῶν ἐν ἡσυχίᾳ ὑπῆρχε, πάντων σχεδὸν εἰρήνην
ἀγόντων. οἱ μὲν γὰρ Πέρσαι διττὰς συνθήκας εἶχον πρὸς
τοὺς Ἕλληνας, τὰς μὲν πρὸς Ἀθηναίους καὶ τοὺς συμμάχους
αὐτῶν, ἐν αἷς ἦσαν αἱ κατὰ τὴν Ἀσίαν Ἑλληνίδες πόλεις
αὐτόνομοι, πρὸς δὲ τοὺς Λακεδαιμονίους ὕστερον ἐγράφη-
σαν, ἐν αἷς τοὐναντίον ἦν γεγραμμένον ὑπηκόους εἶναι τοῖς
Πέρσαις τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις. ὁμοίως δὲ
καὶ τοῖς Ἕλλησι πρὸς ἀλλήλους ὑπῆρχεν εἰρήνη, συντεθει-
μένων τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων σπονδὰς τρια-
3 *κονταετεῖς. ὁμοίως δὲ καὶ τὰ κατὰ τὴν Σικελίαν εἰρηνικὴν*
εἶχε κατάστασιν, Καρχηδονίων μὲν πεποιημένων συνθήκας
πρὸς Γέλωνα, αὐτῶν δὲ τῶν κατὰ τὴν Σικελίαν πόλεων Ἑλλη-
νίδων τὴν ἡγεμονίαν Συρακοσίοις συγκεχωρηκυιῶν, καὶ
τῶν Ἀκραγαντίνων μετὰ τὴν ἧτταν τὴν γενομένην περὶ τὸν
Ἱμέραν ποταμὸν συλλελυμένων πρὸς τοὺς Συρακοσίους.
4 *ἡσύχαζε δὲ καὶ τὰ κατὰ τὴν Ἰταλίαν ἔθνη καὶ Κελτικήν, ἔτι*
δ' Ἰβηρίαν καὶ τὴν ἄλλην σχεδὸν ἅπασαν οἰκουμένην. διόπερ
πολεμικὴ μὲν καὶ ἀξία μνήμης πρᾶξις οὐδεμία συνετελέσθη
κατὰ τούτους τοὺς χρόνους, εἰρήνη δὲ μία συνετελέσθη, καὶ
πανηγύρεις καὶ ἀγῶνες καὶ θεῶν θυσίαι καὶ τἄλλα τὰ πρὸς
εὐδαιμονίαν ἀνήκοντα παρὰ πᾶσιν ἐπεπόλαζεν.

27. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Τιμοκλέους Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Λαρῖνον Ἑρμίνιον καὶ Τίτον Στερτίνιον Στρούκτορα. ἐπὶ δὲ τούτων Σάμιοι μὲν πρὸς Μιλησίους περὶ Πριήνης ἀμφισβητήσαντες εἰς πόλεμον κατέστησαν, ὁρῶντες δὲ τοὺς Ἀθηναίους ταῖς εὐνοίαις διαφέροντας πρὸς Μιλησίους, ἀπέστησαν ἀπ' αὐτῶν. οἱ δὲ Περικλέα προχειρισάμενοι στρατηγὸν ἐξέπεμψαν ἐπὶ τοὺς Σαμίους

μοθεσία αὐτή, πού ἦταν σύντομα καί ἀπέριττα διατυπωμένη, ἐξακολουθοῦσε νά θαυμάζεται μέχρι τῶν ἡμερῶν μας.

2. Κι ἐνῶ συνέβαιναν αὐτά τά γεγονότα, τά περισσότερα ἔθνη τῆς οἰκουμένης ζοῦσαν ἥσυχα, καθώς εἶχαν εἰρήνη μεταξύ τους. Γιατί οἱ Πέρσες εἶχαν συνάψει διπλῆ συμφωνία μέ τούς Ἕλληνες, μιά μέ τούς Ἀθηναίους καί μέ τούς συμμάχους τους, σύμφωνα μέ τήν ὁποία οἱ ἑλληνικές πόλεις τῆς Ἀσίας ἦταν αὐτόνομες, καί μιά ἄλλη μέ τούς Λακεδαιμονίους, πού ὑπογράφηκε ἀργότερα καί στήν ὁποία ὑπῆρχε ὁ ἐντελῶς ἀντίθετος ὅρος, δηλ. οἱ ἑλληνικές πόλεις τῆς Ἀσίας νά εἶναι ὑπήκοοι τῶν Περσῶν. Ἐπίσης καί μεταξύ τῶν Ἑλλήνων ἐπικρατοῦσε εἰρήνη μετά τήν ὑπογραφή τῶν τριακονταετῶν σπονδῶν μεταξύ τῶν Ἀθηναίων καί τῶν Λακεδαιμονίων. 3. Ὁμοίως καί τά πράγματα στή Σικελία βρίσκονταν σέ μιά κατάσταση εἰρήνης, γιατί οἱ Καρχηδόνιοι εἶχαν συνάψει εἰρήνη μέ τόν Γέλωνα, κι οἱ ἑλληνικές πόλεις τῆς Σικελίας ἀνεγνώρισαν τήν ἡγεμονία στούς Συρακοσίους, κι οἱ Ἀκραγαντῖνοι μετά τήν ἧττα τους στόν Ἱμέρα ποταμό εἶχαν συνδιαλλαγῆ μέ τούς Συρακοσίους. 4. Ἡσυχία ἐπικρατοῦσε καί στούς λαούς τῆς Ἰταλίας καί τῆς Κελτικῆς, ἐπίσης στήν Ἰβηρία καί σ' ὅλη σχεδόν τήν οἰκουμένη. Γι' αὐτό δέν συντελέσθηκε κανένα ἀξιομνημόνευτο πολεμικό γεγονός αὐτήν τήν περίοδο, μιά γενική εἰρήνη ἐπικρατοῦσε καί πανηγύρεις καί ἀγῶνες καί θυσίες στούς θεούς κι ὅλα τ' ἄλλα πού συνοδεύουν μιά ζωή εὐτυχισμένη ἐπικρατοῦσαν σ' ὅλη τήν ἀνθρωπότητα.

27.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Τιμοκλῆς, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Λαρῖνο Ἑρμίνιο καί τόν Τίτο Στερτίνιο Στρούκτορα. Αὐτόν τό χρόνο οἱ Σάμιοι ἦρθαν σέ σύγκρουση μέ τούς Μιλησίους ἀπό μιά διαμάχη πού εἶχαν μεταξύ τους γιά τήν Πριήνη, καί βλέποντας ὅτι οἱ Ἀθηναῖοι εὐνοοῦσαν τούς Μιλησίους, ἀποστάτησαν ἀπό αὐτούς. Κι οἱ Ἀθηναῖοι ἐξέλεξαν στρατηγό τόν Περικλῆ καί τόν ἔστειλαν ἐναντίον τῶν Σαμίων

2 ἔχοντα τριήρεις τετταράκοντα. οὗτος δὲ πλεύσας ἐπί τε τὴν
Σάμον, παρεισελθὼν δὲ καὶ τῆς πόλεως ἐγκρατὴς γενόμενος
κατέστησε δημοκρατίαν ἐν αὐτῇ. πραξάμενος δὲ παρὰ τῶν
Σαμίων ὀγδοήκοντα τάλαντα, καὶ τοὺς ἴσους ὁμήρους
παῖδας λαβών, τούτους μὲν παρέδωκε τοῖς Λημνίοις, αὐτὸς
δ' ἐν ὀλίγαις ἡμέραις ἅπαντα συντετελεκὼς ἐπανῆλθεν εἰς
τὰς Ἀθήνας.

3 Ἐν δὲ τῇ Σάμῳ στάσεως γενομένης, καὶ τῶν μὲν αἱρου-
μένων τὴν δημοκρατίαν, τῶν δὲ βουλομένων τὴν ἀριστο-
κρατίαν εἶναι, ταραχὴ πολλὴ τὴν πόλιν ἐπεῖχε. τῶν δ' ἐναν-
τιουμένων τῇ δημοκρατίᾳ διαβάντων εἰς τὴν Ἀσίαν καὶ
πορευθέντων εἰς Σάρδεις πρὸς Πισσούθνην τὸν τῶν Περσῶν
σατράπην περὶ βοηθείας, ὁ μὲν Πισσούθνης ἔδωκεν αὐτοῖς
στρατιώτας ἑπτακοσίους, ἐλπίζων τῆς Σάμου διὰ τούτου κυ-
ριεύσειν, οἱ δὲ Σάμιοι μετὰ τῶν δοθέντων αὐτοῖς στρα-
τιωτῶν νυκτὸς πλεύσαντες εἰς τὴν Σάμον ἔλαθόν τε παρει-
σελθόντες, τῶν πολιτῶν συνεργούντων, ῥᾳδίως τ'
ἐκράτησαν τῆς Σάμου, καὶ τοὺς ἀντιπράττοντας αὐτοῖς ἐξέ-
βαλον ἐκ τῆς πόλεως· τοὺς δ' ὁμήρους ἐκκλέψαντες ἐκ τῆς
Λήμνου καὶ τὰ κατὰ τὴν Σάμον ἀσφαλισάμενοι, φανερῶς
4 ἑαυτοὺς ἀπέδειξαν πολεμίους τοῖς Ἀθηναίοις. οἱ δὲ πάλιν
Περικλέα προχειρισάμενοι στρατηγὸν ἐξέπεμψαν ἐπὶ τοὺς
Σαμίους μετὰ νεῶν ἑξήκοντα. μετὰ δὲ ταῦθ' ὁ μὲν Περικλῆς
ναυμαχήσας πρὸς ἑβδομήκοντα τριήρεις ἐνίκησε τοὺς Σα-
μίους, μεταπεμψάμενος δὲ παρὰ Χίων καὶ Μυτιληναίων
ναῦς εἴκοσι πέντε μετὰ τούτων ἐπολιόρκησε τὴν Σάμον.
μετὰ δέ τινας ἡμέρας Περικλῆς μὲν καταλιπὼν μέρος τῆς δυ-
νάμεως ἐπὶ τῆς πολιορκίας ἀνέζευξεν, ἀπαντήσων ταῖς Φοι-
νίσσαις ναυσίν, ἃς οἱ Πέρσαι τοῖς Σαμίοις ἦσαν ἀπεσταλ-
κότες.

28. Οἱ δὲ Σάμιοι διὰ τὴν ἀνάζευξιν τοῦ Περικλέους νο-
μίζοντες ἔχειν καιρὸν ἐπιτήδειον εἰς ἐπίθεσιν ταῖς ἀπολε-

μέ σαράντα τριήρεις. 2. Κι αὐτός ἔπλευσε ἐναντίον τῆς Σάμου, εἰσῆλθε στήν πόλη καί τήν κυρίευσε καί ἐγκατέστησε δημοκρατικό πολίτευμα στό νησί. Ἀφοῦ εἰσέπραξε ἀπό τούς Σαμίους ὀγδόντα[18] τάλαντα καί πῆρε ἰσάριθμους νέους ὡς ὁμήρους, τούς ὁποίους παρέδωσε στούς Λημνίους, ὁ ἴδιος τακτοποίησε τά πάντα μέσα σέ λίγες ἡμέρες κι ἐπέστρεψε στήν Ἀθήνα.

3. Ἀλλά στή Σάμο ξέσπασε στάση, ἡ μιά μερίδα ἤθελε τή δημοκρατία, ἡ ἄλλη τήν ἀριστοκρατία κι ἔτσι μεγάλη ἀναστάτωση συγκλόνιζε τήν πόλη. Οἱ ἀντίπαλοι τῆς δημοκρατίας πέρασαν στήν Ἀσία καί πορεύθηκαν πρός τίς Σάρδεις, γιά νά ζητήσουν βοήθεια ἀπ' τόν Πισσούθνη τόν σατράπη τῶν Περσῶν. Ὁ Πισσούθνης τούς ἔδωσε ἑπτακόσιους στρατιῶτες, ἐλπίζοντας ὅτι μ' αὐτόν τόν τρόπο θά κυριεύση τή Σάμο, κι οἱ Σάμιοι ἔπλευσαν μαζί μέ τούς στρατιῶτες πού τούς δόθηκαν καί διά νυκτός γλίστρησαν ἀπαρατήρητοι στήν πόλη μέ τή συνεργία ὁμοφρόνων πολιτῶν καί ἔγιναν εὔκολα κύριοι τῆς Σάμου καί ἔδιωξαν ἀπό τήν πόλη τούς ἀντιπάλους τους. Ἀπήγαγαν ἀπό τή Λῆμνο τούς ὁμήρους καί, ἀφοῦ ἀσφάλισαν τά πράγματα στή Σάμο, διεκήρυξαν τήν ἐχθρότητά τους πρός τούς Ἀθηναίους. 4. Οἱ Ἀθηναῖοι ἐξέλεξαν ἐκ νέου στρατηγό τόν Περικλῆ καί τόν ἔστειλαν πάλι ἐναντίον τῶν Σαμίων μέ ἑξήντα πλοῖα. Ὕστερ' ἀπ' αὐτό ὁ Περικλῆς ναυμάχησε μέ ἑβδομήντα ἐχθρικά πλοῖα καί νίκησε τούς Σαμίους, ζήτησε ἔπειτα καί ἔλαβε ἀπό τούς Χιῶτες καί Μυτιληναίους εἴκοσι πέντε πλοῖα καί μ' αὐτά πολιόρκησε τή Σάμο. Ἀλλά λίγες ἡμέρες ἀργότερα ὁ Περικλῆς ἄφησε ἕνα μέρος τῆς δυνάμεώς του νά συνεχίση τήν πολιορκία κι ἀνοίχθηκε στή θάλασσα, γιά νά συναντήση τά φοινικικά πλοῖα, πού εἶχαν στείλει οἱ Πέρσες πρός βοήθεια τῶν Σαμίων.

28.

Οἱ Σάμιοι, μετά τήν ἀναχώρηση τοῦ Περικλῆ, πιστεύοντας ὅτι ἡ στιγμή εἶναι κατάλληλη νά ἐπιτεθοῦν στά πλοῖα πού εἶχε

18. Ὁ Θουκυδίδης (1,115) ἀναφέρει πενήντα.

λειμμέναις ναυσίν, ἐπέπλευσαν ἐπ᾽ αὐτάς, καὶ νικήσαντες τῇ
2 *ναυμαχίᾳ φρονήματος ἐπληροῦντο. ὁ δὲ Περικλῆς ἀκούσας*
τὴν τῶν ἰδίων ἧτταν, εὐθὺς ὑπέστρεψε καὶ στόλον ἀξιόλο-
γον ἤθροισε, βουλόμενος εἰς τέλος συντρῖψαι τὸν τῶν ἐναν-
τίων στόλον. ταχὺ δ᾽ ἀποστειλάντων Ἀθηναίων μὲν ἑξή-
κοντα τριήρεις, Χίων δὲ καὶ Μυτιληναίων τριάκοντα,
μεγάλην ἔχων δύναμιν συνεστήσατο τὴν πολιορκίαν καὶ
κατὰ γῆν καὶ κατὰ θάλατταν, συνεχεῖς ποιούμενος προσ-
3 *βολάς. κατεσκεύασε δὲ καὶ μηχανὰς πρῶτος τῶν πρὸ αὐτοῦ*
τούς τε ὀνομαζομένους κριοὺς καὶ χελώνας, Ἀρτέμωνος
τοῦ Κλαζομενίου κατασκευάσαντος. ἐνεργῶς δὲ πολιορ-
κήσας τὴν πόλιν καὶ ταῖς μηχαναῖς καταβαλὼν τὰ τείχη κύ-
ριος ἐγένετο τῆς Σάμου. κολάσας δὲ τοὺς αἰτίους ἐπρά-
ξατο τοὺς Σαμίους τὰς εἰς τὴν πολιορκίαν γεγενημένας
4 *δαπάνας, τιμησάμενος αὐτὰς ταλάντων διακοσίων. παρεί-*
λετο δὲ καὶ τὰς ναῦς αὐτῶν καὶ τὰ τείχη κατέσκαψε, καὶ τὴν
δημοκρατίαν καταστήσας ἐπανῆλθεν εἰς τὴν πατρίδα.

Ἀθηναίοις δὲ καὶ Λακεδαιμονίοις μέχρι τούτων τῶν χρόνων αἱ τριακονταετεῖς σπονδαὶ διέμειναν ἀσάλευτοι.

Καὶ ταῦτα μὲν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

29. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Μυριχίδου Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Λεύκιον Ἰούλιον καὶ Μάρκον Γεγάνιον, Ἠλεῖοι δ᾽ ἤγαγον Ὀλυμπιάδα πέμπτην πρὸς ταῖς ὀγδοήκοντα, καθ᾽ ἣν ἐνίκα Κρίσων Ἱμεραῖος τὸ δεύτερον. ἐπὶ δὲ τούτων κατὰ τὴν Σικελίαν Δουκέτιος μὲν ὁ γεγονὼς τῶν Σικελικῶν πόλεων ἡγεμὼν τὴν τῶν Καλακτίνων πατρίδα κατέστησε, καὶ πολλοὺς εἰς αὐτὴν οἰκίζων οἰκήτορας ἀντεποιήσατο μὲν τῆς τῶν Σικελῶν ἡγεμονίας, μεσολαβηθεὶς δὲ

ἀφήσει πίσω, ἔπλευσαν ἐναντίον τους, νίκησαν στή ναυμαχία πού συνήφθη κι ἀπέκτησαν ὑψηλό ἠθικό. 2. Ἀλλ᾽ ὅταν ὁ Περικλῆς ἔμαθε τήν ἧττα τῶν δυνάμεών του, ἐπέτρεψε ἀμέσως καί συγκέντρωσε ἀξιόλογο στόλο, γιατί ἤθελε νά συντρίψη μιά γιά πάντα τό στόλο τοῦ ἐχθροῦ. Οἱ Ἀθηναῖοι ἔστειλαν γρήγορα ἑξήντα τριήρεις, οἱ Χιῶτες κι οἱ Μυτιληναῖοι τριάντα καί μ᾽ αὐτήν τή μεγάλη δύναμη ὁ Περικλῆς ἀνανέωσε τήν πολιορκία καί ἀπό τήν στεριά καί ἀπό τή θάλασσα καί ἐνεργοῦσε συνεχεῖς ἐπιθέσεις. 3. Κατασκεύασε καί πολιορκητικές μηχανές, πρῶτος[19] αὐτός ἀπ᾽ ὅλους, ὅπως κριούς καί χελῶνες, πού τίς φιλοτέχνησε ὁ Ἀρτέμων ὁ Κλαζομένιος. Καί μέ μιά ἐνεργητική καί δραστήρια ὀργάνωση τῆς πολιορκίας, κατά τήν ὁποία γκρέμισε τά τείχη μέ τίς μηχανές, ἔγινε κύριος τῆς Σάμου. Κι ἀφοῦ ἐτιμώρησε τούς ἀρχηγούς τῆς ἐξεγέρσεως, εἰσέπραξε ἀπό τούς Σαμίους τίς δαπάνες τῆς πολιορκίας, πού τίς ὑπολόγισε σέ διακόσια τάλαντα. Τούς πῆρε καί τά πλοῖα καί ἰσοπέδωσε τά τείχη. 4. Τέλος, ἀποκατέστησε τή δημοκρατία καί ἐπανῆλθε στήν Ἀθήνα.

Οἱ Ἀθηναῖοι καί οἱ Λακεδαιμόνιοι ὡς αὐτήν τήν περίοδο τηροῦσαν μέ συνέπεια τίς τριακονταετεῖς σπονδές.

Αὐτά ὑπῆρξαν τά γεγονότα τοῦ ἔτους αὐτοῦ.

29.

Ὅταν ἦταν στήν Ἀθήνα ἄρχων ὁ Μυριχίδης, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Λεύκιο Ἰούλιο καί τόν Μάρκο Γεγάνιο, ἐνῶ οἱ Ἠλεῖοι ὀργάνωσαν τήν ὀγδοηκοστή πέμπτη Ὀλυμπιάδα, κατά τήν ὁποία νίκησε ὁ Κρίσων ὁ Ἱμεραῖος γιά δεύτερη φορά. Αὐτήν τή χρονιά στή Σικελία ὁ Δουκέτιος, ὁ παλαιότερος ἡγεμών τῶν Σικελικῶν πόλεων, ἵδρυσε τήν πατρίδα τῶν Καλακτίνων[20] κι ὅταν ἐγκατέστησε πολλούς ἀποίκους ἐκεῖ, διεκδικοῦσε τήν ἡγεμονία τῶν Σικελῶν, ἀλλά στό μεταξύ

19. Εἶναι ὅμως γνωστό, ὅτι Ἀσσύριοι χρησιμοποιοῦσαν πολιορκητικές μηχανές πολλούς αἰῶνες παλαιότερα.

20. Καλακτῖνοι: Οἱ κάτοικοι τῆς Καλῆς Ἀκτῆς (Ἰδ. κεφ. 5, 23).

2 *νόσῳ τὸν βίον κατέστρεψε. Συρακόσιοι δὲ πάσας τὰς τῶν Σικελῶν πόλεις ὑπηκόους ποιησάμενοι πλὴν τῆς ὀνομαζομένης Τρινακίης, ἔγνωσαν ἐπὶ ταύτην στρατεύειν· σφόδρα γὰρ ὑπώπτευον τοὺς Τρινακίους ἀντιλήψεσθαι τῆς τῶν ὁμοεθνῶν Σικελῶν ἡγεμονίας. ἡ δὲ πόλις αὕτη πολλοὺς καὶ μεγάλους ἄνδρας εἶχεν, ἀεὶ τὸ πρωτεῖον ἐσχηκυῖα τῶν Σικελικῶν πόλεων· ἦν γὰρ ἡγεμόνων ἡ πόλις αὕτη πλήρης μέγα*
3 *φρονούντων ἐπ' ἀνδρείᾳ. διὸ καὶ πάσας τὰς δυνάμεις ἀθροίσαντες ἐκ τῶν Συρακουσῶν καὶ τῶν συμμάχων πόλεων ἐστράτευσαν ἐπ' αὐτήν. οἱ δὲ Τρινάκιοι συμμάχων μὲν ἦσαν ἔρημοι διὰ τὸ τὰς ἄλλας πόλεις ὑπακούειν Συρακοσίοις, μέγαν δ' ἀγῶνα συνεστήσαντο. ἐκθύμως γὰρ ἐγκαρτεροῦντες τοῖς δεινοῖς καὶ πολλοὺς ἀνελόντες, ἡρωικῶς μα-*
4 *χόμενοι πάντες κατέστρεψαν τὸν βίον. ὁμοίως δὲ καὶ τῶν πρεσβυτέρων οἱ πλείους ἑαυτοὺς ἐκ τοῦ ζῆν μετέστησαν, οὐχ ὑπομείναντες τὰς ἐκ τῆς ἁλώσεως ὕβρεις. οἱ δὲ Συρακόσιοι τοὺς πρότερον ἀηττήτους γεγονότας νικήσαντες ἐπιφανῶς, τὴν μὲν πόλιν ἐξανδραποδισάμενοι κατέσκαψαν, τῶν δὲ λαφύρων τὰ κράτιστα ἀπέστειλαν εἰς Δελφοὺς χαριστήρια τῷ θεῷ.*

30. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Γλαυκίδου Ῥωμαῖοι κατέστησαν ὑπάτους Τίτον Κοΐντιον καὶ Ἀγρίππαν Φούριον. ἐπὶ δὲ τούτων Συρακόσιοι διὰ τὰς προειρημένας εὐημερίας ἑκατὸν μὲν τριήρεις ἐναυπηγήσαντο, τὸν δὲ τῶν ἱππέων ἀριθμὸν ἐποίησαν διπλάσιον· ἐπεμελήθησαν δὲ καὶ τῆς πεζῆς δυνάμεως, καὶ χρημάτων παρασκευὰς ἐποιοῦντο, φόρους ἁδροτέρους τοῖς ὑποτεταγμένοις Σικελοῖς ἐπιτιθέντες. ταῦτα δ' ἔπρατον διανοούμενοι πᾶσαν Σικελίαν ἐκ τοῦ κατ' ὀλίγον κατακτήσασθαι.

2 *Ἅμα δὲ τούτοις πραττομένοις κατὰ τὴν Ἑλλάδα συνέβη τὸν Κορινθιακὸν κληθέντα πόλεμον ἀρχὴν λαβεῖν διὰ τοι-*

ἀρρώστησε καί πέθανε. 2. Οἱ Συρακόσιοι ὑπέταξαν ὅλες τίς πόλεις τῆς Σικελίας, ἐκτός ἀπό τή λεγομένη Τρινακίη, ἐναντίον τῆς ὁποίας ἀποφάσισαν νά ἐκστρατεύσουν. Γιατί ὑποπτεύονταν σφόδρα τούς Τρινακίους, ὅτι ἐπεδίωκαν ν' αναλάβουν τήν ἡγεμονία τῶν Σικελῶν. Ἡ πόλη αὐτή διέθετε πολλούς καί μεγάλους ἄνδρες καί κατεῖχε πάντα τά πρωτεῖα μεταξύ τῶν Σικελικῶν πόλεων. Γιατί ἦταν γεμάτη ἀπό στρατιωτικούς ἡγέτες μέ παλληκαριά καί ὑψηλό φρόνημα. 3. Γι' αὐτό καί συγκέντρωσαν ὅλες τίς δυνάμεις ἀπό τίς Συρακοῦσες καί τίς σύμμαχες πόλεις καί ἐξεστράτευσαν ἐναντίον της. Οἱ Τρινάκιοι δέν εἶχαν συμμάχους, γιατί οἱ ἄλλες πόλεις ἦταν ὑποταγμένες στούς Συρακοσίους, ἐν τούτοις ὅμως προέβαλαν σθεναρή ἀντίσταση. Ἀντιμετωπίζοντας γενναῖα τούς κινδύνους τῆς μάχης, ἀφοῦ σκότωσαν πολλούς ἀπό τούς ἐχθρούς τους, ἔπεσαν ἡρωϊκά ὅλοι στό πεδιό τῆς μάχης. 4. Κατά τόν ἴδιο τρόπο κι οἱ περισσότεροι ἀπό τούς γεροντότερους ἔθεσαν μόνοι τους τέρμα στή ζωή τους, γιατί δέν μποροῦσαν νά ὑποφέρουν τήν ταπείνωση μετά τήν ἅλωση τῆς πατρίδος τους κι οἱ Συρακόσιοι, ἀφοῦ νίκησαν μέ λαμπρότητα τούς ἄνδρες πού πρίν ἦταν ἀήττητοι, ἐξανδραπόδισαν τούς κατοίκους καί κατέσκαψαν τήν πόλη, καί τά πιό ἐκλεκτά λάφυρα τά ἔστειλαν στούς Δελφούς ὡς εὐχαριστήρια προσφορά στό θεό.

30.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Γλαυκίδης, οἱ Ρωμαῖοι διόρισαν ὑπάτους τόν Τίτο Κοΐντιο καί τόν Ἀγρίππα Φούριο. Αὐτήν τή χρονιά οἱ Συρακόσιοι, χάρη στίς ἐπιτυχίες πού ἀναφέραμε, ἐναυπήγησαν ἑκατό τριήρεις καί διπλασίασαν τό ἱππικό τους. Ἀνέπτυξαν ἐπίσης καί τίς πεζικές δυνάμεις καί ἐνίσχυσαν τά οἰκονομικά τους ἐπιβάλλοντας μεγαλύτερους φόρους στούς ὑποταγμένους Σικελούς. Αὐτά τά ἔκαναν μέ τή σκέψη νά κατακτήσουν σιγά-σιγά ὁλόκληρη τή Σικελία.

2. Κι ἐνῶ συνέβαιναν αὐτά, στήν Ἑλλάδα ξέσπασε ὁ λεγόμενος Κορινθιακός πόλεμος, πού ἄρχισε ἀπό τίς ἑξῆς αἰτίες.

2 *αὐτας τινὰς αἰτίας. Ἐπιδάμνιοι κατοικοῦντες περὶ τὸν*
Ἀδρίαν, ἄποικοι δ' ὑπάρχοντες Κερκυραίων καὶ Κορινθίων,
ἐστασίασαν πρὸς ἀλλήλους. τῆς δ' ἐπικρατούσης μερίδος
φυγαδευούσης πολλοὺς τῶν ἀντιπραττόντων, οἱ φυγάδες
ἀθροισθέντες καὶ παραλαβόντες τοὺς Ἰλλυριοὺς ἔπλευσαν
3 *κοινῇ μετ' αὐτῶν ἐπὶ τὴν Ἐπίδαμνον. στρατευσάντων δὲ*
τῶν βαρβάρων πολλῇ δυνάμει, καὶ τὴν μὲν χώραν κατα-
σχόντων, τὴν δὲ πόλιν πολιορκούντων, οἱ μὲν Ἐπιδάμνιοι,
καθ' ἑαυτοὺς οὐκ ὄντες ἀξιόμαχοι, πρέσβεις ἔπεμψαν εἰς
Κέρκυραν, ἀξιοῦντες τοὺς Κερκυραίους συγγενεῖς ὄντας
βοηθῆσαι. οὐ προσεχόντων δ' αὐτῶν, ἐπρεσβεύσαντο πρὸς
Κορινθίους περὶ συμμαχίας, καὶ μόνην ἐκείνην ἐποιήσαντο
4 *μητρόπολιν· ἅμα δὲ καὶ συνοίκους ᾐτοῦντο. οἱ δὲ Κορίνθιοι*
τοὺς μὲν Ἐπιδαμνίους ἐλεοῦντες, τοὺς δὲ Κερκυραίους μι-
σοῦντες διὰ τὸ μόνους τῶν ἀποίκων μὴ πέμπειν τὰ κατειθι-
σμένα ἱερεῖα τῇ μητροπόλει, ἔκριναν βοηθεῖν τοῖς Ἐπιδα-
μνίοις. διόπερ ἀποίκους τε ἐξέπεμψαν εἰς τὴν Ἐπίδαμνον καὶ
5 *στρατιώτας ἱκανοὺς φρουρῆσαι τὴν πόλιν. ἐπὶ δὲ τούτοις οἱ*
Κερκυραῖοι παροξυνθέντες ἀπέστειλαν πεντήκοντα τριήρεις
καὶ στρατηγὸν ἐπ' αὐτῶν. οὗτος δὲ προσπλεύσας τῇ πόλει
προσέταττε τοὺς μὲν φυγάδας καταδέχεσθαι· ἐπὶ δὲ τοὺς
φρουροὺς Κορινθίους πρέσβεις ἀπέστειλαν ἀξιοῦντες δι-
καστηρίῳ κριθῆναι περὶ τῆς ἀποικίας, μὴ πολέμῳ. τῶν δὲ
Κορινθίων οὐ προσεχόντων αὐτοῖς, συγκατέβησαν εἰς πό-
λεμον ἀμφότεροι, καὶ ναυτικὰς δυνάμεις ἀξιολόγους κατε-
σκεύαζον καὶ συμμάχους προσελαμβάνοντο. ὁ μὲν οὖν Κο-
ρινθιακὸς ὀνομασθεὶς πόλεμος συνέστη διὰ τὰς προει-
ρημένας αἰτίας.
6 *Ῥωμαῖοι δὲ πρὸς Οὐολούσκους διαπολεμοῦντες τὸ μὲν*
πρῶτον ἀκροβολισμοὺς καὶ μικρὰς μάχας συνετέλουν, μετὰ

Ἕνας ἐμφύλιος πόλεμος ξέσπασε μεταξύ τῶν Ἐπιδαμνίων, πού ζοῦσαν στά παράλια τῆς Ἀδριατικῆς καί ἦταν ἄποικοι τῶν Κερκυραίων καί τῶν Κορινθίων[21]. Ἡ μερίδα πού ἐπικρατοῦσε ἐξόρισε πολλούς ἀπό τούς ἀντιπάλους της, ἀλλά οἱ φυγάδες συγκεντρώθηκαν ὅλοι μαζί, συμμάχησαν μέ τούς Ἰλλυριούς καί μαζί ἔπλευσαν ἐναντίον τῆς Ἐπιδάμνου. 3. Κι ἐπειδή οἱ βάρβαροι[22] ἐξεστράτευσαν μέ μεγάλη δύναμη καί κατέλαβαν τήν ὕπαιθρο καί πολιορκοῦσαν τήν πόλη, οἱ Ἐπιδάμνιοι, πού μόνοι τους δέν ἦταν ἀξιόμαχοι, ἔστειλαν πρέσβεις στήν Κέρκυρα καί τούς ζητοῦσαν, μέ βάση ὅτι εἶναι συγγενεῖς, νά σπεύσουν νά τούς βοηθήσουν. Κι ἐπειδή οἱ Κερκυραῖοι δέν τούς ἔδιναν σημασία, ἔστειλαν πρέσβεις στούς Κορινθίους γιά τή σύναψη συμμαχίας καί διεκήρυξαν, ὅτι ἡ Κόρινθος εἶναι ἡ μοναδική τους μητρόπολη. Καί ταυτόχρονα ζητοῦσαν ἀποίκους. 4. Οἱ Κορίνθιοι ἀπό οἶκτο πρός τούς Ἐπιδαμνίους, ἀλλά καί ἀπό μῖσος πρός τούς Κερκυραίους, πού ἦταν οἱ μόνοι ἄποικοι πού δέν ἔστειλαν τά καθιερωμένα σφάγια στή μητρόπολη, ἀποφάσισαν νά βοηθήσουν τούς Ἐπιδαμνίους. Γι' αὐτό ἔστειλαν στήν Ἐπίδαμνο καί ἀποίκους καί στρατιῶτες ἐπαρκεῖς νά φρουροῦν τήν πόλη. 5. Ὀργισμένοι γι' αὐτά οἱ Κερκυραῖοι ἔστειλαν πενήντα τριήρεις μ' ἐπικεφαλῆς ἕναν στρατηγό. Αὐτός ἔπλευσε στήν πόλη καί πρόσταξε τούς ἄρχοντες νά δεχθοῦν τούς ἐξορίστους. Καί στούς Κορινθίους φρουρούς ἔστειλαν πρέσβεις καί ζητοῦσαν τό θέμα τῆς καταγωγῆς τῆς ἀποικίας νά κριθῆ ἀπό διαιτητικό δικαστήριο καί ὄχι μέ τά ὅπλα. Ὅταν οἱ Κορίνθιοι δέν τούς ἔδιναν σημασία, ἀποφάσισαν νά πολεμήσουν καί οἱ δυό πλευρές κι ἑτοίμαζαν ἀξιόλογες ναυτικές δυνάμεις καί ἐξασφάλιζαν συμμάχους. Ἀπ' αὐτές λοιπόν τίς αἰτίες ξέσπασε ὁ Κορινθιακός πόλεμος, ὅπως ὀνομάσθηκε.

6. Οἱ Ρωμαῖοι πολεμοῦσαν μέ τούς Βόλσκους καί στήν ἀρχή συνῆπταν ἀψιμαχίες καί μικρές σχετικῶς μάχες. Ἀργό-

21. Οἱ Ἐπιδάμνιοι ἦταν ἄποικοι τῆς Κέρκυρας, πού ἦταν ἀποικία τῆς Κορίνθου.
22. Οἱ Ἰλλυριοί.

δὲ ταῦτα παρατάξει μεγάλῃ νικήσαντες τοὺς πλείους τῶν πολεμίων κατέκοψαν.

31. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Θεοδώρου Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτους Μάρκον Γενύκιον καὶ Ἀγρίππαν Κούρτιον Χίλωνα. ἐπὶ δὲ τούτων κατὰ μὲν τὴν Ἰταλίαν τὸ ἔθνος τῶν Καμπανῶν συνέστη, καὶ ταύτης ἔτυχε τῆς προσηγορίας ἀπὸ τῆς ἀρετῆς τοῦ πλησίον κειμένου πεδίου.

Κατὰ δὲ τὴν Ἀσίαν οἱ τοῦ Κιμμερίου Βοσπόρου βασιλεύσαντες, ὀνομασθέντες δὲ Ἀρχαιανακτίδαι, ἦρξαν ἔτη δύο πρὸς τοῖς τετταράκοντα· διεδέξατο δὲ τὴν ἀρχὴν Σπάρτακος, καὶ ἦρξεν ἔτη ἑπτά.

2 *Κατὰ δὲ τὴν Ἑλλάδα Κορίνθιοι πρὸς Κερκυραίους δια-*
πολεμοῦντες καὶ παρασκευασάμενοι ναυτικὰς δυνάμεις,
συνεστήσαντο ναυμαχίαν. οἱ μὲν οὖν Κορίνθιοι ἔχοντες
ναῦς ἑβδομήκοντα καλῶς ἐξηρτυμένας, ἐπέπλευσαν τοῖς
πολεμίοις· οἱ δὲ Κερκυραῖοι τριήρεσιν ὀγδοήκοντα ἀντι-
ταχθέντες ἐνίκησαν τῇ ναυμαχίᾳ, καὶ τὴν Ἐπίδαμνον ἐκπο-
λιορκήσαντες τοὺς μὲν ἄλλους αἰχμαλώτους ἀπέκτειναν,
3 *τοὺς δὲ Κορινθίους δήσαντες εἰς φυλακὴν παρέδοσαν. μετὰ*
δὲ τὴν ναυμαχίαν οἱ μὲν Κορίνθιοι καταπλαγέντες κατέ-
πλευσαν εἰς Πελοπόννησον, οἱ δὲ Κερκυραῖοι θαλαττο-
κρατοῦντες τῆς κατ' ἐκείνους τοὺς τόπους θαλάττης ἐπέ-
πλεον τοῖς Κορινθίων συμμάχοις καὶ τὴν χώραν αὐτῶν
ἐπόρθουν.

32. Τοῦ δ' ἐνιαυσίου χρόνου διελθόντος Ἀθήνησι μὲν ἦρχεν Εὐθυμένης, ἐν Ῥώμῃ δ' ἀντὶ τῶν ὑπάτων χιλίαρχοι κατεστάθησαν τρεῖς, Αὖλος Σεμπρώνιος, Λεύκιος Ἀτίλιος, Τίτος Κοΐντιος. ἐπὶ δὲ τούτων Κορίνθιοι μὲν ἡττημένοι τῇ ναυ-

τερα ὅμως σέ μιά μεγάλη μάχη τούς νίκησαν καί κατέκοψαν πολλούς ἀπό τούς ἐχθρούς.

31.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Θεόδωρος οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Μάρκο Γενύκιο καί τόν Ἀγρίππα Κούρτιο Χίλωνα. Αὐτήν τή χρονιά συγκροτήθηκε τό ἔθνος τῶν Καμπανῶν καί πῆρε τό ὄνομα ἀπό τόν παρακείμενο εὔφορο κάμπο.

Στήν Ἀσία ἡ δυναστεία τοῦ Κιμμερίου Βοσπόρου, πού οἱ βασιλεῖς της ὀνομάζονταν Ἀρχαιανακτίδες, κράτησε σαράντα δύο χρόνια. Ἔλαβε δέ ἐκ διαδοχῆς τό θρόνο ὁ Σπάρτακος καί βασίλεψε ἑπτά χρόνια.[23]

2. Στήν Ἑλλάδα οἱ Κορίνθιοι συνέχιζαν τόν πόλεμο μέ τούς Κερκυραίους κι ἀφοῦ ἑτοίμασαν ναυτικές δυνάμεις συνῆψαν ναυμαχία. Οἱ Κορίνθιοι μέ ἑβδομήντα πλοῖα, γερά ἐξοπλισμένα, ἔπλευσαν ἐναντίον τῶν ἐχθρῶν τους. Ἀλλά οἱ Κερκυραῖοι μέ ὀγδόντα τριήρεις τούς ἀντιμετώπισαν καί τούς νίκησαν, κατέλαβαν μέ πολιορκία τήν Ἐπίδαμνο καί σκότωσαν τούς ἄλλους αἰχμαλώτους, ἐνῶ τούς Κορινθίους τούς ἔδεσαν καί τούς ἔρριξαν στή φυλακή. 3. Μετά τή ναυμαχία οἱ Κορίνθιοι φοβισμένοι ἐπέστρεψαν στήν Πελοπόννησο, ἐνῶ οἱ Κερκυραῖοι, πού ἦταν τώρα κύριοι τῆς θαλάσσης σ' αὐτά τά μέρη, ἔκαναν ἀποβάσεις στούς συμμάχους τῶν Κορινθίων καί λεηλατοῦσαν τή χώρα τους.

32.

Τόν ἑπόμενο χρόνο ἄρχων στήν Ἀθήνα ἦταν ὁ Εὐθυμένης καί στή Ρώμη ἀντί τῶν ὑπάτων ἀναδείχθηκαν τρεῖς χιλίαρχοι, ὁ Αὖλος Σεμπρώνιος, ὁ Λεύκιος Ἀτίλιος καί ὁ Τίτος Κοΐντιος. Στή διάρκεια αὐτοῦ τοῦ ἔτους οἱ Κορίνθιοι, μετά τήν ἧττα τους

23. Πρωτεύουσα τοῦ βασιλείου αὐτοῦ ἦταν τό Παντικάπαιο, κοντά στά σημερινά στενά τοῦ Κέρτς.

2 *μαχίᾳ ναυπηγήσασθαι στόλον ἀξιολογώτερον ἔκριναν. διό-*
περ ὕλην πολλὴν παρασκευασάμενοι καὶ ναυπηγοὺς ἐκ τῶν
πόλεων μισθούμενοι μετὰ πολλῆς φιλοτιμίας κατεσκεύα-
ζον τριήρεις καὶ ὅπλα καὶ βέλη παντοδαπά, καὶ καθόλου πά-
σας τὰς εἰς τὸν πόλεμον παρασκευὰς ἡτοίμαζον, καὶ τὰς μὲν
ἐκ καταβολῆς τριήρεις ἐναυπηγοῦντο, τὰς δὲ πεπονηκυίας
ἐθεράπευον, ἄλλας δὲ παρὰ τῶν συμμάχων μετεπέμποντο.
3 *τὸ δὲ παραπλήσιον καὶ τῶν Κερκυραίων ποιούντων, καὶ*
ταῖς φιλοτιμίαις οὐκ ἀπολιμπανομένων, φανερὸς ἦν ὁ πό-
λεμος αὔξησιν μεγάλην ληψόμενος.

Ἅμα δὲ τούτοις πραττομένοις Ἀθηναῖοι συνῴκισαν Ἀμφί-πολιν, καὶ τῶν οἰκητόρων οὓς μὲν ἐκ τῶν πολιτῶν κατέλε-ξαν, οὓς δ' ἐκ τῶν σύνεγγυς φρουρίων.

33. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Λυσιμάχου Ῥωμαῖοι μὲν
ὑπάτους κατέστησαν Τίτον Κοΐντιον καὶ Μάρκον Γεγάνιον
Μακερῖνον, Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα ἕκτην πρὸς ταῖς
ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον Θεόπομπος Θετταλός.
ἐπὶ δὲ τούτων Κερκυραῖοι μὲν πυνθανόμενοι τῶν παρα-
σκευαζομένων ἐπ' αὐτοὺς δυνάμεων τὸ πλῆθος, ἀπέστειλαν
2 *πρὸς Ἀθηναίους πρέσβεις ἀξιοῦντες αὐτοῖς βοηθῆσαι. τὸ δ'*
αὐτὸ καὶ Κορινθίων ποιησάντων, καὶ συναχθείσης ἐκκλη-
σίας, διήκουσε τῶν πρέσβεων ὁ δῆμος, καὶ ἐψηφίσατο συμ-
μαχεῖν Κερκυραίοις. διὸ καὶ παραχρῆμα μὲν ἐξέπεμψαν
τριήρεις κατηρτισμένας δέκα, μετὰ δὲ ταῦτα πλείους ἐπηγ-
3 *γείλαντο πέμψειν, ἐὰν ᾖ χρεία. οἱ δὲ Κορίνθιοι τῆς τῶν Ἀθη-*
ναίων συμμαχίας ἀποτυχόντες, ἐνενήκοντα μὲν αὐτοὶ τριή-
ρεις ἐπλήρωσαν, παρὰ δὲ τῶν συμμάχων ἑξήκοντα προσε-
λάβοντο. ἔχοντες οὖν ναῦς κατηρτισμένας ἑκατὸν πεντή-
κοντα, καὶ στρατηγοὺς ἑλόμενοι τοὺς χαριεστάτους, ἀνή-

στή ναυμαχία, ἀποφάσισαν νά ναυπηγήσουν ἀξιολογότερο στόλο. 2. Γι' αὐτό προμηθεύθηκαν μεγάλες ποσότητες ξυλείας καί μίσθωναν ναυπηγούς ἀπό διάφορες πόλεις. Καί σέ μιά ἀτμόσφαιρα ὀργασμοῦ κατασκεύαζαν τριήρεις καί ὅπλα καί βέλη κάθε εἴδους καί γενικά ἔκαναν ὅλες τίς ἀναγκαῖες προετοιμασίες γιά τόν πόλεμο καί ἄλλες τριήρεις ναυπηγοῦσαν ἀπό τήν ἀρχή, ἄλλες πού εἶχαν πάθει ἀβαρίες τίς ἐπισκεύαζαν κι ἄλλες ζητοῦσαν ἀπό τούς συμμάχους τους. 3. Κάτι παρόμοιο ἔκαναν κι οἱ Κερκυραῖοι, χωρίς νά ὑπολείπωνται σέ ζῆλο, κι ἦταν ὁλοφάνερο πλέον, ὅτι ὁ πόλεμος ἐπρόκειτο νά λάβη μεγάλες διαστάσεις.

Κι ἐνῶ συνέβαιναν αὐτά τά γεγονότα, οἱ Ἀθηναῖοι ἵδρυσαν τήν ἀποικία τῆς Ἀμφιπόλεως ἐκλέγοντας τούς ἀποίκους ἄλλους μεταξύ τῶν συμπολιτῶν τους κι ἄλλους ἀπό τίς γειτονικές φρουρές.

33.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Λυσίμαχος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Τίτο Κοΐντιο καί τόν Μάρκο Γεγάνιο Μακερῖνο κι οἱ Ἠλεῖοι ὀργάνωσαν τήν ὀγδοηκοστή ἕκτη Ὀλυμπιάδα, κατά τήν ὁποία νίκησε στόν ἀγώνα δρόμου ἑνός σταδίου ὁ Θεόπομπος ὁ Θεσσαλός. Αὐτήν τή χρονιά οἱ Κερκυραῖοι, μαθαίνοντας ὅτι δυνάμεις μεγάλης κλίμακος ἑτοιμάζονταν νά κινηθοῦν ἐναντίον τους, ἔστειλαν πρέσβεις πρός τούς Ἀθηναίους καί ζητοῦσαν τήν βοήθειά τους. 2. Τό ἴδιο ἔκαναν κι οἱ Κορίνθιοι καί κατά τή σύνοδο τῆς ἐκκλησίας ὁ λαός τῶν Ἀθηναίων ἄκουσε τούς πρέσβεις καί ἐψήφισε τή βοήθεια πρός τούς Κερκυραίους. Γι' αὐτό καί ἔστειλαν ἀμέσως δέκα ἐξοπλισμένες τριήρεις, κι ὑποσχέθηκαν νά τούς στείλουν ἀργότερα περισσότερες, ἄν παραστῆ ἀνάγκη. 3. Οἱ Κορίνθιοι πού ἀπέτυχαν νά συνάψουν συμμαχία μέ τούς Ἀθηναίους, ἐξόπλισαν οἱ ἴδιοι ἐνενήντα τριήρεις καί πῆραν κι ἄλλες ἑξήντα ἀπό τούς συμμάχους τους. Μέ ἑκατόν πενήντα λοιπόν ἐξοπλισμένα πλοῖα καί μέ στρατηγούς τούς ἱκανότερους ἔπλευσαν ἐναντίον

χθησαν ἐπὶ τὴν Κέρκυραν, κεκρικότες διὰ τάχους ναυμα-
χῆσαι. οἱ δὲ Κερκυραῖοι πυνθανόμενοι τὸν τῶν πολεμίων
4 *στόλον μὴ μακρὰν ἀπέχειν, ἀντανήχθησαν τριήρεσιν ἑκατὸν*
εἴκοσι σὺν ταῖς τῶν Ἀθηναίων. γενομένης δὲ ναυμαχίας
ἰσχυρᾶς, τὸ μὲν πρῶτον ἐπεκράτουν οἱ Κορίνθιοι, μετὰ δὲ
ταῦτα τῶν Ἀθηναίων ἐπιφανέντων ἄλλαις εἴκοσι ναυσίν, ἃς
ἀπεστάλκεσαν ἐν τῇ δευτέρᾳ συμμαχίᾳ, συνέβη νικῆσαι
τοὺς Κερκυραίους. τῇ δ' ὑστεραίᾳ πάντων τῶν Κερκυραίων
ἐπιπλευσάντων οὐκ ἀνήχθησαν οἱ Κορίνθιοι.

34. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀντιοχίδου Ῥωμαῖοι κα-
τέστησαν ὑπάτους Μάρκον Φάβιον καὶ Πόστουμον Αἰβού-
τιον Οὔλεκον. ἐπὶ δὲ τούτων, Ἀθηναίων μὲν συνηγωνισμέ-
νων τοῖς Κερκυραίοις καὶ τῆς κατὰ τὴν ναυμαχίαν νίκης
αἰτίων γενομένων, χαλεπῶς εἶχον πρὸς αὐτοὺς οἱ Κορίνθιοι.
2 *διόπερ ἀμύνεσθαι σπεύδοντες τοὺς Ἀθηναίους, ἀπέστησαν*
ἀπ' αὐτῶν πόλιν Ποτίδαιαν, οὖσαν ἑαυτῶν ἄποικον. ὁμοίως
δὲ τούτοις καὶ Περδίκκας ὁ τῶν Μακεδόνων βασιλεύς,
ἀλλοτρίως διακείμενος πρὸς Ἀθηναίους, ἔπεισε τοὺς Χαλ-
κιδεῖς ἀποστάντας Ἀθηναίων τὰς μὲν ἐπὶ θαλάττῃ πόλεις
ἐκλιπεῖν, εἰς μίαν δὲ συνοικισθῆναι τὴν ὀνομαζομένην
3 *Ὄλυνθον. οἱ δ' Ἀθηναῖοι τὴν ἀπόστασιν τῶν Ποτιδαιατῶν*
ἀκούσαντες ἐξέπεμψαν τριάκοντα ναῦς καὶ προσέταξαν
τήν τε χώραν τῶν ἀφεστηκότων λεηλατῆσαι καὶ τὴν πόλιν
πορθῆσαι. οἱ δὲ πεμφθέντες καταπλεύσαντες εἰς τὴν Μακε-
δονίαν κατὰ τὰς ἐντολὰς τοῦ δήμου, συνεστήσαντο πο-
4 *λιορκίαν τῆς Ποτιδαίας. ἔνθα δὴ τῶν Κορινθίων βοηθη-*
σάντων τοῖς πολιορκουμένοις δισχιλίοις στρατιώταις,
δισχιλίους καὶ ὁ δῆμος τῶν Ἀθηναίων ἐξέπεμψε. γενομένης
δὲ μάχης περὶ τὸν ἰσθμὸν τὸν πλησίον τῆς Παλληνίων, καὶ
τῶν Ἀθηναίων νικησάντων καὶ πλείους τῶν τριακοσίων ἀνε-
λόντων, οἱ Ποτιδαιᾶται συνεκλείσθησαν εἰς πολιορκίαν.

τῆς Κερκύρας, ἀποφασισμένοι νά συνάψουν τό ταχύτερον ναυμαχία. Κι οἱ Κερκυραῖοι, ὅταν ἔμαθαν ὅτι ὁ ἐχθρικός στόλος δέν ἀπεῖχε πολύ, ἀνοίχθηκαν κι αὐτοί στή θάλασσα μέ ἑκατόν εἴκοσι τριήρεις, συμπεριλαμβανομένων καί τῶν Ἀθηναϊκῶν. 4. Ἔγινε μιά μεγάλη ναυμαχία καί στήν ἀρχή ὑπερίσχυαν οἱ Κορίνθιοι, ὅταν ὅμως ἔκανε τήν ἐμφάνισή της νέα βοήθεια τῶν Ἀθηναίων μέ εἴκοσι πλοῖα, ὅπως εἶχε συμφωνηθῆ, τότε ἡ νίκη ἔκλινε ἀποφασιστικά πρός τούς Κερκυραίους. Καί τήν ἑπομένη, πού οἱ Κερκυραῖοι ἔπλευσαν ἐναντίον τους μέ ὅλη τους τή δύναμη, οἱ Κορίνθιοι δέν ἐμφανίστηκαν.

34.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Ἀντιοχίδης, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Μάρκο Φάβιο καί τόν Πόστουμο Αἰβούτιο Οὔλεκο. Αὐτόν τό χρόνο οἱ Κορίνθιοι ἦταν ὀργισμένοι ἐναντίον τῶν Ἀθηναίων, πού πολέμησαν στό πλευρό τῶν Κερκυραίων καί ὑπῆρξαν ὁ συντελεστής τῆς νίκης. 2. Γι' αὐτό σπεύδοντας νά ἐκδικηθοῦν τούς Ἀθηναίους ἐξώθησαν στήν ἀποστασία τήν Ποτίδαια, πού ἦταν ἀποικία δική τους. Ἐπίσης κι ὁ Περδίκκας, ὁ βασιλιάς τῶν Μακεδόνων, πού ἔτρεφε ἐχθρικά αἰσθήματα πρός τούς Ἀθηναίους, ἔπεισε τούς Χαλκιδεῖς νά ἀποστατήσουν ἀπό τούς Ἀθηναίους καί νά ἐγκαταλείψουν τίς παραθαλάσσιες πόλεις καί νά ἑνωθοῦν σέ μιά μοναδική πόλη, τήν Ὄλυνθο. 3. Οἱ Ἀθηναῖοι ὅταν ἔμαθαν τήν ἀποστασία τῶν Ποτιδαιατῶν, ἔστειλαν τριάντα πλοῖα καί πρόσταξαν νά λεηλατήσουν τή χώρα τῶν ἀποστατῶν καί νά διαρπάξουν τήν πόλη. Ἡ ἀποστολή κατέπλευσε στή Μακεδονία σύμφωνα μέ τίς ἐντολές τοῦ λαοῦ καί πολιόρκησε τήν Ποτίδαια. 4. Κι ὅταν οἱ Κορίνθιοι ἦρθαν πρός βοήθεια τῶν πολιορκουμένων μέ δυό χιλιάδες στρατιῶτες, ἔστειλαν κι οἱ Ἀθηναῖοι δυό χιλιάδες ἄνδρες ἐνίσχυση. Στή μάχη πού διεξήχθη στόν Ἰσθμό, κοντά στήν Παλλήνη, οἱ Ἀθηναῖοι νίκησαν καί σκότωσαν πάνω ἀπό τριακόσιους κι ἡ πολιορκία τῶν Ποτιδαιατῶν ἔγινε στενότερη. 5. Κι ἐνῶ συνέβαιναν ὅλα αὐτά, οἱ

5 *ἅμα δὲ τούτοις πραττομένοις ἔκτισαν οἱ Ἀθηναῖοι πόλιν ἐν*
τῇ Προποντίδι τὴν ὀνομαζομένην Ἀστακόν. κατὰ δὲ τὴν
Ἰταλίαν Ῥωμαῖοι πέμψαντες ἀποίκους εἰς Ἄρδεα τὴν χώραν
κατεκληρούχησαν.

35. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Κράτητος Ῥωμαῖοι κατέ-
στησαν ὑπάτους Κόιντον Φούριον Φοῦσον καὶ Μάνιον Πα-
πίριον Κράσσον. ἐπὶ δὲ τούτων κατὰ τὴν Ἰταλίαν οἱ τοὺς
Θουρίους οἰκοῦντες, ἐκ πολλῶν πόλεων συνεστηκότες,
ἐστασίαζον πρὸς ἀλλήλους, ποίας πόλεως ἀποίκους δεῖ κα-
λεῖσθαι τοὺς Θουρίους καὶ τίνα κτίστην δίκαιον ὀνομάζε-
2 *σθαι. οἵ τε γὰρ Ἀθηναῖοι τῆς ἀποικίας ταύτης ἠμφισβή-*
τουν, ἀποφαινόμενοι πλείστους οἰκήτορας ἐξ Ἀθηνῶν
ἐληλυθέναι, ἔτι δὲ αἱ κατὰ τὴν Πελοπόννησον πόλεις οὐκ
ὀλίγους παρεσχηκέναι παρ' αὐτῶν εἰς τὴν κτίσιν τῶν Θου-
ρίων, τὴν ἐπιγραφὴν τῆς ἀποικίας ἑαυτοῖς ἔφησαν δεῖν προσ-
3 *άπτεσθαι. ὁμοίως δὲ καὶ πολλῶν ἀγαθῶν ἀνδρῶν κεκοινω-*
νηκότων τῆς ἀποικίας καὶ πολλὰς χρείας παρεσχημένων,
πολὺς ἦν ὁ λόγος, ἑκάστου τῆς τιμῆς ταύτης σπεύδοντος τυ-
χεῖν. τέλος δὲ τῶν Θουρίων πεμψάντων εἰς Δελφοὺς τοὺς
ἐπερωτήσοντας τίνα χρὴ τῆς πόλεως οἰκιστὴν ἀγορεύειν, ὁ
θεὸς ἔχρησεν αὐτὸν δεῖν κτίστην νομίζεσθαι. τούτῳ τῷ
τρόπῳ λυθείσης τῆς ἀμφισβητήσεως τὸν Ἀπόλλω κτίστην
τῶν Θουρίων ἀπέδειξαν, καὶ τὸ πλῆθος τῆς στάσεως ἀπο-
λυθὲν εἰς τὴν προϋπάρχουσαν ὁμόνοιαν ἀποκατέστη.
4 *Κατὰ δὲ τὴν Ἑλλάδα Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων*
βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη τετταράκοντα δύο, τὴν δὲ
ἀρχὴν διαδεξάμενος Ἆγις ἐβασίλευσεν ἔτη εἴκοσι ἑπτά.

Ἀθηναῖοι ἔκτισαν μιά πόλη στήν Προποντίδα μέ τό ὄνομα Ἀστακό.

Στήν Ἰταλία οἱ Ρωμαῖοι ἔστειλαν ἀποίκους στήν Ἄρδεα καί μοίρασαν τή χώρα σέ κλήρους.

35.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Κράτης, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Κόιντο Φούριο Φοῦσο καί τόν Μάνιο Παπίριο Κράσσο. Αὐτήν τή χρονιά στήν Ἰταλία οἱ κάτοικοι τῶν Θουρίων, πού προέρχονταν ἀπό διάφορες πόλεις, φιλονικοῦσαν μεταξύ τους γιά τό θέμα ποιᾶς πόλεως ἀποικία πρέπει νά θεωροῦνται οἱ Θούριοι καί ποιός εἶναι δίκαιο νά ὀνομάζεται ἱδρυτής τους. 2. Γιατί οἱ Ἀθηναῖοι διεκδικοῦσαν αὐτήν τήν ἀποικία μέ τό ἐπιχείρημα ὅτι οἱ περισσότεροι κάτοικοί της εἶχαν ἔρθει ἐκεῖ ἀπό τήν Ἀθήνα, ἀλλά κι οἱ πόλεις τῆς Πελοποννήσου, πού εἶχαν στείλει ὄχι καί λίγους ἀποίκους γιά τήν ἵδρυση τῶν Θουρίων, ἰσχυρίζονταν ὅτι πρέπει ἡ ἀποικία νά καταγραφῆ στό ὄνομά τους. 3. Καθώς καί πολλοί ἱκανοί ἄνδρες εἶχαν πάρει μέρος στήν ἵδρυση τῆς ἀποικίας καί εἶχαν προσφέρει πολλές ὑπηρεσίες, γινόταν πολλή συζήτηση, γιατί καθένας ἀπ' αὐτούς ἐπιθυμοῦσε νά ἀναγνωρισθῆ ὡς ἱδρυτής. Τέλος, οἱ Θούριοι ἔστειλαν στούς Δελφούς γιά νά ρωτήσουν ποιόν πρέπει νά ἀναγνωρίσουν ἱδρυτή τῆς πόλεως κι ὁ θεός τούς ἀπάντησε, ὅτι πρέπει ν' ἀπονείμουν σ' αὐτόν τόν ἴδιο αὐτήν τήν τιμή. Ἀφοῦ ἡ διαφορά τους λύθηκε μ' αὐτόν τόν τρόπο, ἀναγόρευσαν ἱδρυτή τῆς πόλεως τόν Ἀπόλλωνα κι ὁ λαός, ἀπαλλαγμένος πλέον ἀπό τή διαμάχη, ἐπανῆλθε στήν προηγούμενη κατάσταση τῆς ὁμόνοιας.

4. Στήν Ἑλλάδα ὁ Ἀρχίδαμος, ὁ βασιλιάς τῶν Λακεδαιμονίων, πέθανε, ἀφοῦ βασίλεψε σαράντα δύο χρόνια καί τόν διαδέχθηκε στήν ἀρχή ὁ Ἆγις, πού βασίλεψε εἴκοσι ἑπτά χρόνια[24].

24. Ὁ Ἀρχίδαμος πέθανε στά 426 π.Χ. κι ὄχι τή χρονιά αὐτή. Κι εἶναι μάλιστα περίεργο, γιατί ὁ ἴδιος ὁ Διόδωρος τόν ἐμφανίζει παρακάτω (47,1) νά ὁδηγῆ τό στρατό του στή Βοιωτία τό 429 π.Χ. καί νά εἰσβάλλη στήν Ἀττική (52,1) στά 426 π.Χ.

36. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀψεύδους Ῥωμαῖοι κατέστησαν ὑπάτους Τίτον Μενήνιον καὶ Πρόκλον Γεγάνιον Μακερῖνον. ἐπὶ δὲ τούτων Σπάρτακος μὲν ὁ Βοσπόρου βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη ἑπτά, διεδέξατο δὲ τὴν ἀρχὴν Σέλευκος καὶ ἐβασίλευσεν ἔτη τετταράκοντα.

2 *Ἐν δὲ ταῖς Ἀθήναις Μέτων ὁ Παυσανίου μὲν υἱός, δεδοξασμένος δὲ ἐν ἀστρολογίᾳ, ἐξέθηκε τὴν ὀνομαζομένην ἐννεακαιδεκαετηρίδα, τὴν ἀρχὴν ποιησάμενος ἀπὸ μηνὸς ἐν Ἀθήναις σκιροφοριῶνος τρισκαιδεκάτης. ἐν δὲ τοῖς εἰρημένοις ἔτεσι τὰ ἄστρα τὴν ἀποκατάστασιν ποιεῖται καὶ καθάπερ ἐνιαυτοῦ τινος μεγάλου τὸν ἀνακυκλισμὸν λαμβάνει·*

3 *διὸ καί τινες αὐτὸν Μέτωνος ἐνιαυτὸν ὀνομάζουσι. δοκεῖ δὲ ὁ ἀνὴρ οὗτος ἐν τῇ προρρήσει καὶ προγραφῇ ταύτῃ θαυμαστῶς ἐπιτετευχέναι· τὰ γὰρ ἄστρα τήν τε κίνησιν καὶ τὰς ἐπισημασίας ποιεῖται συμφώνως τῇ γραφῇ· διὸ μέχρι τῶν καθ' ἡμᾶς χρόνων οἱ πλεῖστοι τῶν Ἑλλήνων χρώμενοι τῇ ἐννεακαιδεκαετηρίδι οὐ διαψεύδονται τῆς ἀληθείας.*

4 *Κατὰ δὲ τὴν Ἰταλίαν Ταραντῖνοι τοὺς τὴν Σῖριν καλουμένην οἰκοῦντας μετοικίσαντες ἐκ τῆς πατρίδος καὶ ἰδίους προσθέντες οἰκήτορας, ἔκτισαν πόλιν τὴν ὀνομαζομένην Ἡράκλειαν.*

37. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Πυθοδώρου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Τίτον Κοΐντιον καὶ Νίττον Μενήνιον, Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα ἑβδόμην πρὸς ταῖς ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον Σώφρων Ἀμπρακιώτης. ἐπὶ δὲ τούτων ἐν

36.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Ἀψεύδης, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Τίτο Μενήνιο καί τόν Πρόκλο Γεγάνιο Μακερῖνο. Αὐτήν τήν χρονιά ὁ Σπάρτακος, ὁ βασιλιάς τοῦ Βοσπόρου, πέθανε, ἀφοῦ βασίλεψε ἑπτά χρόνια, καί τόν διαδέχθηκε ὁ Σέλευκος, πού βασίλεψε σαράντα χρόνια.

2. Στήν Ἀθήνα ὁ Μέτων, ὁ γυιός τοῦ Παυσανία, πού ἀπέκτησε μεγάλη φήμη γιά τίς ἀστρονομικές του μελέτες, ἔδωσε στή δημοσιότητα τόν λεγόμενο κύκλο τῶν δεκαεννέα ἐτῶν, ὁρίζοντας ὡς ἀρχή του τήν δεκάτη τρίτη ἡμέρα τοῦ μηνός Σκιροφοριῶνος[25]. Σ' αὐτήν τήν περίοδο τῶν ἐτῶν τά ἄστρα συμπληρώνουν τήν τροχιά τους στό διάστημα καί τρόπον τινά κλείνουν ἕνα μεγάλο ἔτος μ' αὐτήν τήν ἀνακύκλιση. Γι' αὐτό καί πολλοί τήν περίοδο αὐτή τῶν δεκαεννιά ἐτῶν τήν ὀνομάζουν «ἐνιαυτόν τοῦ Μέτωνος». 3. Καί φαίνεται ὅτι ὁ ἄνθρωπος αὐτός εὐστόχησε κατά τρόπο θαυμαστό στήν πρόρρηση αὐτή πού ἐξήγγειλε. Γιατί τά ἄστρα κινοῦνται καί ἐπηρεάζουν τά γεγονότα τοῦ κόσμου σύμφωνα μέ τήν ἀνακάλυψή του. Γι' αὐτό μέχρι τῶν ἡμερῶν μας οἱ περισσότεροι ἀπό τούς Ἕλληνες χρησιμοποιοῦν τόν κύκλο τῶν δεκαεννιά ἐτῶν καί δέν ἀστοχοῦν στήν ἀλήθεια.

4. Στήν Ἰταλία οἱ Ταραντῖνοι μετατόπισαν τούς κατοίκους τῆς λεγομένης Σίριδος ἀπό τήν πατρίδα τους καί προσθέτοντας καί δικούς τους ἀποίκους ἵδρυσαν μιά πόλη, πού τήν ὀνόμασαν Ἡράκλεια.

37.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Πυθόδωρος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Τίτο Κοΐντιο καί τόν Νίττο Μενήνιο κι οἱ Ἠλεῖοι ὀργάνωσαν τήν ὀγδοηκοστή ἑβδόμη Ὀλυμπιάδα, κατά τήν ὁποία νίκησε στόν ἀγώνα δρόμου ἑνός σταδίου ὁ Σώφρων ὁ Ἀμπρακιώτης. Αὐτήν τήν χρονιά στήν Ρώμη ὁ

25. Ὁ δωδέκατος μήνας τοῦ Ἀττικοῦ ἡμερολογίου (15 Ἰουνίου-15 Ἰουλίου).

τῇ Ῥώμῃ Σπόριος Μαίλιος ἐπιθέμενος τυραννίδι ἀνῃρέθη. Ἀθηναῖοι δὲ περὶ Ποτίδαιαν νενικηκότες ἐπιφανεῖ μάχῃ, Καλλίου τοῦ στρατηγοῦ πεσόντος ἐν τῇ παρατάξει, στρατηγὸν ἕτερον ἐξέπεμψαν Φορμίωνα. οὗτος δὲ παραλαβὼν τὸ στρατόπεδον καὶ προσκαθήμενος τῇ πόλει τῶν Ποτιδαιατῶν συνεχεῖς προσβολὰς ἐποιεῖτο· ἀμυνομένων δὲ τῶν ἔνδον εὐρώστως ἐγένετο πολυχρόνιος πολιορκία.

2 *Θουκυδίδης δὲ ὁ Ἀθηναῖος τὴν ἱστορίαν ἐντεῦθεν ἀρξάμενος ἔγραψε τὸν γενόμενον πόλεμον Ἀθηναίοις πρὸς Λακεδαιμονίους τὸν ὀνομασθέντα Πελοποννησιακόν. οὗτος μὲν οὖν ὁ πόλεμος διέμεινεν ἐπὶ ἔτη εἴκοσι ἑπτά, ὁ δὲ Θουκυδίδης ἔτη δύο πρὸς τοῖς εἴκοσι γέγραφεν ἐν βίβλοις ὀκτώ, ὡς δέ τινες διαιροῦσιν, ἐννέα.*

38. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Εὐθυδήμου Ῥωμαῖοι μὲν ἀντὶ τῶν ὑπάτων τρεῖς χιλιάρχους κατέστησαν, Μάνιον Αἰμιλιανὸν Μάμερκον, Γάιον Ἰούλιον, Λεύκιον Κοΐντιον. ἐπὶ δὲ τούτων Ἀθηναίοις καὶ Λακεδαιμονίοις ἐνέστη πόλεμος ὁ κληθεὶς Πελοποννησιακός, μακρότατος τῶν ἱστορημένων πολέμων. ἀναγκαῖον δ' ἐστὶ καὶ τῆς ὑποκειμένης ἱστορίας οἰκεῖον προεκθέσθαι τὰς αἰτίας αὐτοῦ.

2 *Ἀθηναῖοι τῆς κατὰ θάλατταν ἡγεμονίας ἀντεχόμενοι τὰ ἐν Δήλῳ κοινῇ συνηγμένα χρήματα, τάλαντα σχεδὸν ὀκτακισχίλια, μετήνεγκαν εἰς τὰς Ἀθήνας καὶ παρέδωκαν φυλάττειν Περικλεῖ. οὗτος δ' ἦν εὐγενείᾳ καὶ δόξῃ καὶ λόγου δεινότητι πολὺ προέχων τῶν πολιτῶν. μετὰ δέ τινα χρόνον*

Σπόριος Μαίλιος θανατώθηκε, γιατί ἀποπειράθηκε νά γίνη τύραννος. Οἱ Ἀθηναῖοι, πού κατήγαγαν περιφανῆ νίκη στήν Ποτίδαια, ἔστειλαν ἕναν ἄλλον στρατηγό, τόν Φορμίωνα, στή θέση τοῦ στρατηγοῦ Καλλία, πού ἔπεσε στό πεδίο τῆς μάχης. Ὁ Φορμίων, ἀφοῦ παρέλαβε τό στρατό, ἄρχισε ἀμέσως νά πολιορκῆ τήν πόλη τῶν Ποτιδαιατῶν καί ἐνεργοῦσε συνεχεῖς ἐπιθέσεις. Ἀλλά οἱ ὑπερασπιστές τῆς πόλεως προέβαλλαν γενναία ἀντίσταση καί ἡ πολιορκία τραβοῦσε σέ μάκρος.

2. Ὁ Θουκυδίδης ὁ Ἀθηναῖος ἀρχίζει τήν ἱστορία του ἀπ' αὐτήν τήν χρονιά κι ἔγραψε γιά τόν πόλεμο μεταξύ τῶν Ἀθηναίων καί τῶν Λακεδαιμονίων, πού ὀνομάσθηκε Πελοποννησιακός πόλεμος. Ὁ πόλεμος αὐτός κράτησε εἴκοσι ἑπτά χρόνια κι ὁ Θουκυδίδης περιέγραψε τά εἴκοσι δύο ἀπ' αὐτά σέ ὀκτώ βιβλία καί, κατά τή διαίρεση ἄλλων, σέ ἐννιά βιβλία.

38.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Εὐθύδημος, οἱ Ρωμαῖοι ἀνέδειξαν ἀντί τῶν ὑπάτων τρεῖς χιλιάρχους, τόν Μάνιο Αἰμιλιανό Μάμερκο, τόν Γάιο Ἰούλιο καί τόν Λεύκιο Κοΐντιο. Αὐτήν τή χρονιά ἄρχισε ὁ Πελοποννησιακός πόλεμος μεταξύ τῶν Ἀθηναίων καί τῶν Λακεδαιμονίων, ὁ πιό μακροχρόνιος ἀπό τούς πολέμους πού ἀναφέρει ἡ ἱστορία. Καί εἶναι ἀναγκαῖο καί μέσα στό σχέδιο τοῦ ἔργου μας νά ἐκθέσουμε κατ' ἀρχήν ἀπό ποιές αἰτίες κηρύχθηκε αὐτός ὁ πόλεμος.

2. Ὅταν οἱ Ἀθηναῖοι ἀγωνίζονταν ἀκόμα γιά τήν κυριαρχία στή θάλασσα, τά χρήματα πού ἦταν συγκεντρωμένα γιά λογαριασμό ὅλων καί ἦταν κατατεθειμένα στό κοινό ταμεῖο τῆς Δήλου, σχεδόν ὀκτώ χιλιάδες τάλαντα, τά μετέφεραν στήν Ἀθήνα[26] καί τά παρέδωσαν πρός φύλαξη στόν Περικλῆ. Ὁ ἄνθρωπος αὐτός διακρινόταν πολύ μεταξύ τῶν συμπολιτῶν του γιά τήν εὐγενῆ καταγωγή του, τή δόξα καί τή ρητορική του δεινότητα. Ἀλλά ὕστερα ἀπό κάμποσο καιρό εἶχε

26. Τό 454 π.Χ.

ἀνηλωκὼς ἀπ' αὐτῶν ἰδίᾳ πλῆθος ἱκανὸν χρημάτων καὶ λό-
γον ἀπαιτούμενος εἰς ἀρρωστίαν ἐνέπεσεν, οὐ δυνάμενος
3 *τῶν πεπιστευμένων ἀποδοῦναι τὸν ἀπολογισμόν. ἀδημο-*
νοῦντος δ' αὐτοῦ περὶ τούτων, Ἀλκιβιάδης ὁ ἀδελφιδοῦς,
ὀρφανὸς ὤν, τρεφόμενος παρ' αὐτῷ, παῖς ὢν τὴν ἡλικίαν,
ἀφορμὴν αὐτῷ παρέσχετο τῆς περὶ τῶν χρημάτων ἀπολο-
γίας. θεωρῶν γὰρ τὸν θεῖον λυπούμενον ἐπηρώτησε τὴν
αἰτίαν τῆς λύπης. τοῦ δὲ Περικλέους εἰπόντος, ὅτι τὴν περὶ
τῶν χρημάτων ἀπολογίαν αἰτούμενος ζητῶ πῶς ἂν δυναί-
μην ἀποδοῦναι τὸν περὶ τούτων λόγον τοῖς πολίταις, ὁ Ἀλκι-
βιάδης ἔφησε δεῖν αὐτὸν ζητεῖν μὴ πῶς ἀποδῷ τὸν λόγον,
4 *ἀλλὰ πῶς μὴ ἀποδῷ. διόπερ Περικλῆς ἀποδεξάμενος τὴν*
τοῦ παιδὸς ἀπόφασιν ἐζήτει, δι' οὗ τρόπου τοὺς Ἀθηναίους
δύναιτ' ἂν ἐμβαλεῖν εἰς μέγαν πόλεμον· οὕτω γὰρ μάλιστα
ὑπελάμβανε διὰ τὴν ταραχὴν καὶ τοὺς τῆς πόλεως περι-
σπασμοὺς καὶ φόβους ἐκφεύξεσθαι τὸν ἀκριβῆ λόγον τῶν
χρημάτων. πρὸς δὲ ταύτην τὴν ἀφορμὴν συνεβάλετ' αὐτῷ
καὶ ταὐτόματον διὰ τοιαύτας αἰτίας.

39. Τὸ τῆς Ἀθηνᾶς ἄγαλμα Φειδίας μὲν κατεσκεύαζε, Περικλῆς δὲ ὁ Ξανθίππου καθεσταμένος ἦν ἐπιμελητής. τῶν δὲ συνεργασαμένων τῷ Φειδίᾳ τινὲς διενεχθέντες ὑπὸ τῶν ἐχθρῶν τοῦ Περικλέους ἐκάθισαν ἐπὶ τῶν τῶν θεῶν βωμῶν· διὰ δὲ τὸ παράδοξον προσκαλούμενοι ἔφασαν πολλὰ τῶν ἱερῶν χρημάτων ἔχοντα Φειδίαν δείξειν, ἐπισταμένου καὶ

ξοδέψει ἕνα σημαντικό ποσό ἀπ' αὐτά τά χρήματα κι ὅταν τόν κάλεσαν νά δώση λογαριασμό ἔπεσε ἄρρωστος, γιατί δέν μπόρεσε νά δικαιολογήση τή δαπάνη τῶν χρημάτων πού τοῦ εἶχαν ἐμπιστευθῆ. 3. Κι ἐνῶ αὐτός ἦταν γεμάτος ἀγωνία ἀπό τήν κατάσταση αὐτή, ὁ ἀνεψιός του Ἀλκιβιάδης, πού ἦταν ὀρφανός κι ἀνατρεφόταν κοντά του, ἄν καί ἦταν ἀκόμα παιδί, τοῦ ἔδειξε ἕναν τρόπο νά βγῆ ἀπό τό ἀδιέξοδο τοῦ ἀπολογισμοῦ τῶν χρημάτων. Βλέποντας τόν θεῖο του στενοχωρημένον τόν ἐρώτησε νά μάθη τήν αἰτία τῆς λύπης του. Κι ὅταν ὁ Περικλῆς τοῦ εἶπε, ὅτι μοῦ ζητοῦν νά δώσω μιά ἐξήγηση γιά τά χρήματα καί ψάχνω νά βρῶ ἕναν τρόπο πού νά μπορέσω νά δικαιολογήσω τή δαπάνη μπροστά στούς πολίτες, ὁ Ἀλκιβιάδης τοῦ εἶπε, ὅτι πρέπει νά ψάξη νά βρῆ ὄχι μέ τί τρόπο θά δώση λογαριασμό, ἀλλά μέ τί τρόπο δέν θά δώση. 4. Ἔτσι ὁ Περικλῆς ἀποδέχθηκε τή γνώμη τοῦ παιδιοῦ κι ἀναζητοῦσε μέ τί τρόπο θά μπορέση νά τούς μπλέξη σ' ἕνα μεγάλον πόλεμο. Γιατί αὐτός θά ἦταν ὁ καλύτερος τρόπος, ὑπελόγιζε, ἐξ αἰτίας τῆς ταραχῆς καί τῶν περισπασμῶν τῆς πόλεως καί τῶν φόβων, ν' ἀποφύγη νά δώση ἕναν ἀκριβῆ ἀπολογισμό γιά τή διαχείριση τῶν χρημάτων. Πρός αὐτήν τήν κατεύθυνση τόν εὐνόησε καί ἡ συγκυρία μερικῶν γεγονότων, πού συνέβαιναν ἀπό τήν ἑξῆς αἰτία.

39.

Τό ἄγαλμα τῆς Ἀθηνᾶς[27] ἦταν ἔργο τοῦ Φειδία κι ὁ Περικλῆς, ὁ γυιός τοῦ Ξανθίππου, εἶχε διορισθῆ ἐπιμελητής. Μερικοί ἀπό τούς συνεργάτες τοῦ Φειδία, οἱ ὁποῖοι ἐπηρεάζονταν ἀπό τούς ἐχθρούς τοῦ Περικλῆ, πῆγαν καί κάθισαν στούς βωμούς τῶν θεῶν ὡς ἱκέτες. Κι ὅταν κλήθηκαν νά δώσουν μιά ἐξήγηση γιά τήν παράδοξη πράξη τους, εἶπαν ὅτι θ' ἀποδείξουν πώς ὁ Φειδίας κατέχει ἕνα μεγάλο ποσόν ἀπό τά ἱερά χρήματα, μέ τήν

27. Πρόκειται γιά τό χρυσελεφάντινο ἄγαλμα τῆς Ἀθηνᾶς, πού εἶχε στηθῆ στόν Παρθενώνα μέσα.

2 *συνεργοῦντος τοῦ ἐπιμελητοῦ Περικλέους. διόπερ ἐκκλη-*
σίας συνελθούσης περὶ τούτων, οἱ μὲν ἐχθροὶ τοῦ Περικλέ-
ους ἔπεισαν τὸν δῆμον συλλαβεῖν τὸν Φειδίαν, καὶ αὐτοῦ
τοῦ Περικλέους κατηγόρουν ἱεροσυλίαν. πρὸς δὲ τούτοις
Ἀναξαγόραν τὸν σοφιστήν, διδάσκαλον ὄντα Περικλέους,
ὡς ἀσεβοῦντα εἰς τοὺς θεοὺς ἐσυκοφάντουν· συνέπλεκον δ'
ἐν ταῖς κατηγορίαις καὶ διαβολαῖς τὸν Περικλέα, διὰ τὸν
φθόνον σπεύδοντες διαβαλεῖν τὴν τἀνδρὸς ὑπεροχήν τε
καὶ δόξαν.

3 *Ὁ δὲ Περικλῆς, εἰδὼς τὸν δῆμον ἐν μὲν τοῖς πολεμικοῖς*
ἔργοις θαυμάζοντα τοὺς ἀγαθοὺς ἄνδρας διὰ τὰς κατεπει-
γούσας χρείας, κατὰ δὲ τὴν εἰρήνην τοὺς αὐτοὺς συκο-
φαντοῦντα διὰ τὴν σχολὴν καὶ φθόνον, ἔκρινε συμφέρειν
αὑτῷ τὴν πόλιν ἐμβαλεῖν εἰς μέγαν πόλεμον, ὅπως χρείαν
ἔχουσα τῆς Περικλέους ἀρετῆς καὶ στρατηγίας μὴ προσδέ-
χηται τὰς κατ' αὐτοῦ διαβολάς, μηδ' ἔχῃ σχολὴν καὶ χρόνον
ἐξετάζειν ἀκριβῶς τὸν περὶ τῶν χρημάτων λόγον.

4 *Ὄντος δὲ ψηφίσματος παρὰ τοῖς Ἀθηναίοις Μεγαρέας*
εἴργεσθαι τῆς τε ἀγορᾶς καὶ τῶν λιμένων, οἱ Μεγαρεῖς κα-
τέφυγον ἐπὶ τοὺς Σπαρτιάτας. οἱ δὲ Λακεδαιμόνιοι πει-
σθέντες τοῖς Μεγαρεῦσιν ἀπέστειλαν πρέσβεις ἐκ τοῦ προ-
φανεστάτου ἀπὸ τῆς τοῦ κοινοῦ συνεδρίου γνώμης προστάτ-
τοντες τοῖς Ἀθηναίοις ἀνελεῖν τὸ κατὰ τῶν Μεγαρέων ψή-
φισμα, μὴ πειθομένων δὲ αὐτῶν ἀπειλοῦντες πολεμήσειν
5 *αὐτοῖς μετὰ τῶν συμμάχων. συναχθείσης οὖν περὶ τούτων*
ἐκκλησίας, ὁ Περικλῆς, δεινότητι λόγου πολὺ διαφέρων
ἁπάντων τῶν πολιτῶν, ἔπεισε τοὺς Ἀθηναίους μὴ ἀναιρεῖν

συγκατάθεση καί τήν συνεργία τοῦ ἐπιμελητῆ, τοῦ Περικλῆ. 2. Ἔτσι, ὅταν συνῆλθε ἡ ἐκκλησία νά ἐξετάση τό θέμα, οἱ ἐχθροί τοῦ Περικλῆ ἔπεισαν τό λαό νά συλλάβη τόν Φειδία καί ἀπήγγειλαν κατηγορία κατά τοῦ Περικλῆ γιά ἱεροσυλία. Ἐπί πλέον συκοφαντοῦσαν τόν σοφιστή Ἀναξαγόρα, πού ἦταν δάσκαλος τοῦ Περικλῆ, γιά ἀσέβεια πρός τούς θεούς. Στίς κατηγορίες καί τίς διαβολές ἔμπλεκαν καί τόν Περικλῆ, γιατί ὁ φθόνος τούς ἐθέρμαινε τήν ἐπιθυμία νά ἀμαυρώσουν τή φήμη καί τήν ὑπεροχή τοῦ ἀνθρώπου αὐτοῦ.[28]

3. Ἀλλά ὁ Περικλῆς, πού ἤξερε ὅτι ὁ λαός ἐκτιμᾶ τούς γενναίους ἄνδρες στίς πολεμικές ἐπιχειρήσεις γιά τίς ἐπείγουσες ἀνάγκες του, ἐνῶ τούς ἴδιους ἀνθρώπους στόν καιρό τῆς εἰρήνης τούς συκοφαντεῖ, γιατί δέν κάνουν τίποτα, ἀλλά καί ἀπό φθόνο, ἔκρινε ὅτι τόν συμφέρει νά μπλέξη τήν πόλη σ' ἕνα μεγάλο πόλεμο, ὥστε νά ἔχη ἀνάγκη ἀπό τήν ἀνδρεία καί τή στρατηγική ἱκανότητα τοῦ Περικλῆ καί νά μή δίνη προσοχή στίς διαβολές ἐναντίον του οὔτε νά ἔχη τήν ἄνεση καί τόν χρόνο νά λεπτολογῆ τό θέμα τοῦ ἀπολογισμοῦ γιά τή διαχείριση τῶν χρημάτων.

4. Ὅταν οἱ Ἀθηναῖοι ψήφισαν νά ἀποκλείσουν τούς Μεγαρεῖς ἀπό τήν ἀγορά τους καί τά λιμάνια, οἱ Μεγαρεῖς στράφηκαν πρός τούς Σπαρτιάτες γιά βοήθεια. Κι οἱ Λακεδαιμόνιοι ἀποδέχθηκαν τήν αἴτηση τῶν Μεγαρέων κι ἔστειλαν κατά τόν πιό ἐπιδεικτικό τρόπο πρέσβεις, σύμφωνα μέ τήν ἀπόφαση τῆς Πελοποννησιακῆς συμμαχίας, καί πρόσταξαν τούς Ἀθηναίους νά ἀνακαλέσουν τό ψήφισμα, πού ἐνέκριναν εἰς βάρος τῶν Μεγαρέων, καί ἄν δέν συμμμορφωθοῦν, τούς ἀπειλοῦσαν ὅτι θά τούς κηρύξουν τόν πόλεμο μαζί μέ τούς συμμάχους. 5. Ὅταν συνῆλθε ἡ Ἐκκλησία νά ἐξετάση τό θέμα αὐτό ὁ Περικλῆς, πού ἦταν ὁ ἱκανότερος ρήτωρ ἀπ' ὅλους, ἔπεισε τούς Ἀθηναίους νά μήν ἀνακαλέσουν τό ψήφι-

28. Ὁ Θουκυδίδης ἀναλύοντας τίς αἰτίες τοῦ Πελοποννησιακοῦ πολέμου δέν ἀναφέρει τίποτε ἀπ' ὅλ' αὐτά, οὔτε γιά τόν Φειδία οὔτε γιά τόν Ἀναξαγόρα.

2 *τὸ ψήφισμα, λέγων ἀρχὴν δουλείας εἶναι τὸ πείθεσθαι παρὰ
τὸ συμφέρον τοῖς Λακεδαιμονίων προστάγμασι. συνεβού-
λευεν οὖν τὰ ἀπὸ τῆς χώρας κατακομίζειν εἰς τὴν πόλιν καὶ
θαλαττοκρατοῦντας διαπολεμεῖν τοῖς Σπαρτιάταις.*

*40. Περὶ δὲ τοῦ πολέμου πεφροντισμένως ἀπολογισάμε-
νος ἐξηριθμήσατο μὲν τὸ πλῆθος τῶν συμμάχων τῇ πόλει καὶ
τὴν ὑπεροχὴν τῆς ναυτικῆς δυνάμεως, πρὸς δὲ τούτοις τὸ
πλῆθος τῶν μετακεκομισμένων ἐκ Δήλου χρημάτων εἰς τὰς
Ἀθήνας, ἃ συνέβαινεν ἐκ τῶν φόρων ταῖς πόλεσι κοινῇ συν-*
2 *ηθροῖσθαι· κοινῶν δ’ ὄντων τῶν μυρίων ταλάντων ἀπανή-
λωτο πρὸς τὴν κατασκευὴν τῶν προπυλαίων καὶ τὴν Ποτι-
δαίας πολιορκίαν τετρακισχίλια τάλαντα· καὶ καθ’ ἕκαστον
ἐνιαυτὸν ἐκ τοῦ φόρου τῶν συμμάχων ἀνεφέρετο τάλαντα
τετρακόσια ἑξήκοντα. χωρὶς δὲ τούτων τά τε πομπεῖα καὶ τὰ*
3 *Μηδικὰ σκῦλα πεντακοσίων ἄξια ταλάντων ἀπεφήνατο, ἔν
τε τοῖς ἱεροῖς ἀπεδείκνυεν ἀναθημάτων τε πλῆθος καὶ τὸ τῆς
Ἀθηνᾶς ἄγαλμα ἔχειν χρυσίου πεντήκοντα τάλαντα, ὡς πε-
ριαιρετῆς οὔσης τῆς περὶ τὸν κόσμον κατασκευῆς· καὶ
ταῦτα, ἀναγκαία εἰ καταλάβοι χρεία, χρησαμένους παρὰ
τῶν θεῶν πάλιν ἀποκαταστήσειν ἐν εἰρήνῃ· τούς τε τῶν πο-
λιτῶν βίους διὰ τὴν πολυχρόνιον εἰρήνην πολλὴν ἐπίδοσιν
εἰληφέναι πρὸς εὐδαιμονίαν.*
4 *Χωρὶς δὲ τῶν χρημάτων τούτων στρατιώτας ἀπεδείκνυεν
ὑπάρχειν τῇ πόλει χωρὶς συμμάχων καὶ τῶν ἐν τοῖς φρουρί-
οις ὄντων ὁπλίτας μὲν μυρίους καὶ δισχιλίους, τοὺς δ’ ἐν τοῖς
φρουρίοις ὄντας καὶ τοὺς μετοίκους ὑπάρχειν πλείους τῶν*
5 *μυρίων ἑπτακισχιλίων, τριήρεις τε τὰς παρούσας τριακοσίας.*

σμα, μέ τό ἐπιχείρημα ὅτι τό νά ὑποχωροῦν στά προστάγματα τῶν Λακεδαιμονίων ἀντίθετα πρός τά συμφέροντά τους, αὐτό ἀποτελεῖ τό πρῶτο βῆμα πρός τήν ὑποδούλωση. Καί τούς συμβούλεψε νά μεταφέρουν τά ὑπάρχοντά τους ἀπό τήν ὕπαιθρο στήν πόλη καί νά πολεμήσουν τούς Σπαρτιάτες, καθώς εἶναι κύριοι στή θάλασσα.

40.

Ὁ Περικλῆς μίλησε μέ εὐγλωττία γιά τόν πόλεμο, ἀπαρίθμησε τόν μεγάλο ἀριθμό τῶν συμμάχων τῆς πόλεως καί τήν ὑπεροχή τῆς ναυτικῆς της ἰσχύος καί μετά ἀνέφερε τό πλῆθος τῶν χρημάτων, πού εἶχαν μεταφερθῆ ἀπό τήν Δῆλο στήν Ἀθήνα καί πού εἶχαν πράγματι συγκεντρωθῆ ἀπό τούς φόρους πού κατέβαλλαν οἱ πόλεις τῆς συμμαχίας. 2. Ἀπό τίς δέκα χιλιάδες τάλαντα πού ἦταν κοινά, δαπανήθηκαν γιά τήν κατασκευή τῶν Προπυλαίων καί γιά τήν πολιορκία τῆς Ποτίδαιας τέσσερες χιλιάδες τάλαντα. Καί κάθε χρόνο ἀπό τήν εἰσφορά τῶν συμμάχων εἰσάγονται στό ταμεῖο τετρακόσια ἑξήντα τάλαντα. 3. Ἐκτός ἀπ’ αὐτά, τά σκεύη γιά τίς ἱερές τελετές καί τά περσικά λάφυρα ἄξιζαν πεντακόσια τάλαντα καί ἀναφέρθηκε στό πλῆθος τῶν ἀφιερωμάτων στούς ναούς καί στά πεντακόσια τάλαντα χρυσοῦ πού ἔχει πάνω του τό ἄγαλμα τῆς Ἀθηνᾶς, γιατί ἡ διακόσμηση τοῦ ἀγάλματος ἔχει γίνει κατά τέτοιο τρόπο ὥστε νά μπορῆ νά ἀποσπᾶται. Καί ὑπογράμμιζε, ὅτι ὅλος αὐτός ὁ πλοῦτος, ἄν τό καλέση ἡ ἀνάγκη, εἶναι δυνατό νά χρησιμοποιηθῆ καί νά ἀποδοθῆ πάλι στούς θεούς, ὅταν ἀποκατασταθῆ ἡ εἰρήνη. Ἐπίσης τόνισε ὅτι χάρη στή μακρόχρονη εἰρήνη, τό ἐπίπεδο τῆς ζωῆς τῶν πολιτῶν ἔχει ὑψωθῆ σέ μεγάλο βαθμό πρός τήν εὐδαιμονία.

4. Κι ἐκτός ἀπ’ αὐτούς τούς πόρους, παρατηροῦσε ὅτι ἡ πόλη διαθέτει στρατιωτική δύναμη, ἐκτός ἀπό τούς συμμάχους καί τίς φρουρές, δώδεκα χιλιάδες ὁπλίτες, ἐνῶ οἱ φρουρές καί οἱ μέτοικοι ἀνέρχονται σέ μιά δύναμη, πού ὑπερβαίνει τίς δεκαεπτά χιλιάδες ἄντρες κι οἱ ἕτοιμες τριήρεις φθάνουν τίς τρια-

τοὺς δὲ Λακεδαιμονίους χρημάτων τε σπανίζειν ἀπεδείκνυε καὶ ταῖς ναυτικαῖς δυνάμεσι πολὺ λείπεσθαι τῶν Ἀθηναίων. ταῦτα διελθὼν καὶ παρορμήσας τοὺς πολίτας εἰς τὸν πόλεμον, ἔπεισε τὸν δῆμον μὴ προσέχειν τοῖς Λακεδαιμονίοις. ταῦτα δὲ ῥᾳδίως συνετέλεσε διὰ τὴν δεινότητα τοῦ λόγου, δι' ἣν αἰτίαν ὠνομάσθη Ὀλύμπιος.
6 *μέμνηται δὲ τούτων καὶ Ἀριστοφάνης ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής, γεγονὼς κατὰ τὴν τοῦ Περικλέους ἡλικίαν, ἐν τοῖσδε τοῖς τετραμέτροις,*

ὦ λιπερνῆτες γεωργοί, τἀμά τις ξυνιέτω
ῥήματ', εἰ βούλεσθ' ἀκοῦσαι τήνδ' ὅπως ἀπώλετο.
πρῶτα μὲν γὰρ αὐτῆς ἦρχε Φειδίας πράξας κακῶς,
εἶτα Περικλέης φοβηθεὶς μὴ μετάσχῃ τῆς τύχης,
ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος
ἐξεφύσησεν τοσοῦτον πόλεμον ὥστε τῷ καπνῷ
πάντας Ἕλληνες δακρῦσαι, τούς τ' ἐκεῖ τούς τ' ἐνθάδε·

καὶ πάλιν ἐν ἄλλοις
Περικλέης οὑλύμπιος
ἤστραπτεν, ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα.

κόσιες. 5. Κι ἀπεδείκνυε, ὅτι οἱ Λακεδαιμόνιοι καί χρημάτων ἔχουν ἔλλειψη καί ὅτι ὑπολείπονται πολύ τῶν Ἀθηναίων ὡς πρός τίς ναυτικές δυνάμεις. Ἀφοῦ ἀνέπτυξε ὅλα αὐτά τά σημεῖα καί παρόρμησε τούς πολίτες γιά πόλεμο, ἔπεισε τό λαό νά μή δώση σημασία στούς Λακεδαιμονίους. Κι ὅλα αὐτά τά κατόρθωσε μέ εὐκολία, χάρη στή ρητορική του δεινότητα, γιά τήν ὁποία ὀνομάσθηκε Ὀλύμπιος. 6. Μνεία ὅλων αὐτῶν κάνει κι ὁ Ἀριστοφάνης, ὁ κωμικός ποιητής, πού ἔζησε στά χρόνια τοῦ Περικλῆ, στά ἀκόλουθα τετράμετρα:

Κακόμοιροι γεωργοί,
βάλτε βαθειά στό νοῦ σας
τά λόγια πού θά πῶ,
ἄν θέλετε νά μάθετε
πῶς χάθηκε ἡ εἰρήνη.
Τήν ἀρχή τήν ἔκανε ὁ Φειδίας
πού τήν ἔπαθε κι ἔγινε ρεζίλι.
Ἦρθε μετά ὁ Περικλῆς
πού ἀπό φόβο του μή πάθη
κι αὐτός τά ἴδια, ὅπως ἐκεῖνος,
ἄναψε μιά μικρή σπίθα
μέ κεῖνο τό Μεγαρικό ψήφισμα.
πού τίναξε ἕναν τέτοιο πόλεμο
πού δάκρυσαν τά μάτια τῶν Ἑλλήνων
ὅλων ἀπ' τόν καπνό του,
κι ἐδῶ κι ἐκεῖ καί παντοῦ.[29]

Καί πάλι σέ ἄλλο σημεῖο λέει:

Ὁ Ὀλύμπιος Περικλῆς
ἄστραφτε, βρόνταε, συντάραξε τήν Ἑλλάδα.[30]

29. Ἀριστοφ. Εἰρήνη, 603-606 και 609-611.
30. Ἀριστοφ. Ἀχαρν. 531-532.

Εὔπολις δ' ὁ ποιητής

Πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν·
οὕτως ἐκήλει καὶ μόνος τῶν ῥητόρων
τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις.

41. Αἰτίαι μὲν οὖν τοῦ Πελοποννησιακοῦ πολέμου
τοιαῦταί τινες ὑπῆρξαν, ὡς Ἔφορος ἀνέγραψε. τῶν δ' ἡγου-
μένων πόλεων τοῦτον τὸν τρόπον εἰς πόλεμον ἐμπεσουσῶν,
Λακεδαιμόνιοι μὲν μετὰ τῶν Πελοποννησίων συνεδρεύ-
σαντες ἐψηφίσαντο πολεμεῖν τοῖς Ἀθηναίοις, καὶ πρὸς τὸν
Περσῶν βασιλέα πρεσβεύσαντες παρεκάλουν συμμαχεῖν
αὐτοῖς, καὶ τοὺς κατὰ τὴν Σικελίαν καὶ Ἰταλίαν συμμάχους
διαπρεσβευσάμενοι διακοσίαις τριήρεσιν ἔπεισαν βοηθεῖν,
2 *αὐτοὶ δὲ μετὰ τῶν Πελοποννησίων τὰς πεζὰς δυνάμεις δια-*
τάξαντες καὶ τἄλλα τὰ πρὸς τὸν πόλεμον ἡτοιμασμένοι
πρῶτοι τοῦ πολέμου κατήρξαντο. κατὰ γὰρ τὴν Βοιωτίαν ἡ
τῶν Πλαταιέων πόλις αὐτόνομος ἦν καὶ συμμαχίαν εἶχε
3 *πρὸς Ἀθηναίους. ἐν ταύτῃ τῶν πολιτῶν τινες καταλῦσαι*
τὴν αὐτονομίαν βουλόμενοι διελέχθησαν τοῖς Βοιωτοῖς,
ἐπαγγελλόμενοι τὴν πόλιν ὑπὸ τὴν τῶν Θηβαίων τάξειν
συντέλειαν καὶ παραδώσειν αὐτοῖς τὰς Πλαταιάς, ἐὰν αὐτοὶ
4 *στρατιώτας πέμψωσι τοὺς βοηθοῦντας. διὸ καὶ τῶν Βοι-*
ωτῶν ἀποστειλάντων στρατιώτας ἐπιλέκτους τριακοσίους
νυκτός, οἱ προδόται τούτους παρεισαγαγόντες ἐντὸς τῶν
5 *τειχῶν κυρίους τῆς πόλεως ἐποίησαν. οἱ δὲ Πλαταιεῖς βου-*
λόμενοι τὴν πρὸς Ἀθηναίους συμμαχίαν διαφυλάττειν, τὸ
μὲν πρῶτον ὑπολαβόντες πανδημεὶ τοὺς Θηβαίους παρεῖναι,
διεπρεσβεύσαντο πρὸς τοὺς κατειληφότας τὴν πόλιν καὶ

Ἀλλά κι ὁ Εὔπολις ὁ ποιητής ἔγραψε:

Μπορεῖς νά πῇς πώς ἦταν καθισμένη
στά χείλια του ἡ Πειθώ.
Τόσο γοήτευε. Κι ἦταν ὁ μόνος ῥήτωρ
πού στούς ἀκροατές του ἄφηνε
τό κεντρί του.

41.

Αὐτές ὑπῆρξαν περίπου οἱ αἰτίες τοῦ Πελοποννησιακοῦ πολέμου, ὅπως τίς ἀναφέρει ὁ Ἔφορος. Κι ὅταν οἱ ἡγέτιδες πόλεις κατ' αὐτόν τόν τρόπο ἔφθασαν στήν πολεμική ῥήξη, οἱ Λακεδαιμόνιοι, πού συνεδρίαζαν μέ τούς Πελοποννησίους, ἀποφάσισαν νά πολεμήσουν τούς Ἀθηναίους καί ἔστειλαν πρέσβεις στό βασιλιά τῶν Περσῶν καί τόν παρότρυναν νά συμμαχήση μαζί τους, ἐνῶ ταυτόχρονα ἔστειλαν πρέσβεις καί στούς συμμάχους τους στή Σικελία καί τήν Ἰταλία καί τούς ἔπεισαν νά τούς βοηθήσουν μέ διακόσιες τριήρεις. 2. Καί οἱ ἴδιοι, μαζί μέ τούς Πελοποννησίους, ἑτοίμασαν τό στρατό τῆς ξηρᾶς καί ὅλα τά ἀναγκαῖα γιά τόν πόλεμο κι ἄρχισαν πρῶτοι τόν πόλεμο.

Στή Βοιωτία δηλ. ἡ πόλη τῶν Πλαταιέων ἦταν αὐτόνομη καί εἶχε συνάψει συμμαχία μέ τούς Ἀθηναίους. 3. Ἀλλά μερικοί Πλαταιεῖς ἤθελαν νά καταλύσουν τήν αὐτονομία καί ἦρθαν σέ συνεννόηση μέ τούς Βοιωτούς καί τούς ὑπόσχονταν νά ἐντάξουν τήν πόλη στή συμπολιτεία τῶν Θηβαίων καί νά τούς παραδώσουν τίς Πλαταιές, ἀρκεῖ νά τούς στείλουν κάποια στρατιωτική βοήθεια. 4. Ἔτσι λοιπόν οἱ Βοιωτοί τούς ἔστειλαν διά νυκτός τριακόσιους ἐπιλέκτους στρατιῶτες, τούς ὁποίους οἱ προδότες τούς ἔμπασαν κρυφά μέσα στά τείχη καί τούς βοήθησαν νά καταλάβουν τήν πόλη. 5. Οἱ Πλαταιεῖς, πού ἤθελαν νά διαφυλάξουν τή συμμαχία μέ τούς Ἀθηναίους, στήν ἀρχή, νομίζοντας ὅτι οἱ Θηβαῖοι μπῆκαν στήν πόλη μέ ὅλο τό στρατό τους, ἄρχισαν διαπραγματεύσεις

παρεκάλουν συνθέσθαι σπονδάς· ὡς δ' ἡ νὺξ παρῆλθε, κατανοήσαντες ὀλίγους ὄντας, συνεστράφησαν καὶ περὶ τῆς
6 *ἐλευθερίας ἐκθύμως ἠγωνίζοντο. γενομένης δὲ τῆς μάχης ἐν ταῖς ὁδοῖς, τὸ μὲν πρῶτον οἱ Θηβαῖοι διὰ τὰς ἀρετὰς προεῖχον καὶ πολλοὺς τῶν ἀνθισταμένων ἀνῄρουν· τῶν δ' οἰκετῶν καὶ τῶν παίδων ἀπὸ τῶν οἰκιῶν βαλλόντων τὰς κεραμῖδας καὶ κατατιτρωσκόντων τοὺς Θηβαίους ἐτράπησαν· καὶ τινὲς μὲν αὐτῶν ἐκπεσόντες ἐκ τῆς πόλεως διεσώθησαν, τινὲς δὲ εἰς οἰκίαν τινὰ καταφυγόντες ἠναγκά-*
7 *σθησαν παραδοῦναι σφᾶς αὐτούς. οἱ δὲ Θηβαῖοι παρὰ τῶν ἐκ τῆς μάχης διασωθέντων πυθόμενοι τὰ συμβεβηκότα, παραχρῆμα πανδημεὶ κατὰ σπουδὴν ὥρμησαν. διὰ δὲ τὸ παράδοξον ἀνετοίμων ὄντων τῶν κατὰ τὴν χώραν, πολλοὶ μὲν ἀνῃρέθησαν, οὐκ ὀλίγοι δὲ ζῶντες συνελήφθησαν, ἅπασα δ' ἡ χώρα ταραχῆς καὶ διαρπαγῆς ἔγεμεν.*

42. Οἱ δὲ Πλαταιεῖς διαπρεσβευσάμενοι πρὸς τοὺς Θηβαίους ἠξίουν ἀπελθεῖν ἐκ τῆς χώρας αὐτῶν καὶ ἀπολαβεῖν τοὺς αἰχμαλώτους. διό καὶ τῆς συνθέσεως ταύτης γεγενημένης οἱ μὲν Θηβαῖοι τοὺς αἰχμαλώτους ἀπολαβόντες καὶ τὴν λείαν ἀποδόντες εἰς τὰς Θήβας ἀπηλλάγησαν· οἱ δὲ Πλαταιεῖς πρὸς μὲν Ἀθηναίους ἔπεμψαν πρέσβεις περὶ βοη-
2 *θείας, αὐτοὶ δὲ τὰ πλεῖστα ἐκόμισαν εἰς τὴν πόλιν. οἱ δὲ Ἀθηναῖοι πυθόμενοι τὰ περὶ τὰς Πλαταιάς, παραχρῆμα ἐξέπεμψαν τοὺς ἱκανοὺς στρατιώτας· οὗτοι δὲ κατὰ σπουδὴν παραγενόμενοι, καὶ μὴ φθάσαντες τοὺς Θηβαίους, τὰ λοιπὰ τῶν ἀπὸ τῆς χώρας κατεκόμισαν εἰς τὴν πόλιν, καὶ τέκνα καὶ γυναῖκας καὶ τὸν ὄχλον ἀθροίσαντες ἐξαπέστειλαν εἰς τὰς Ἀθήνας.*

3 *Οἱ δὲ Λακεδαιμόνιοι κρίναντες καταλελύσθαι τὰς*

μαζί τους καί τούς προέτρεπαν νά συνάψουν συνθήκη. Ὅταν ὅμως πέρασε ἡ νύχτα κι εἶδαν ὅτι εἶναι λίγοι, συγκροτήθηκαν σέ στρατιωτική δύναμη καί πολεμοῦσαν μέ πάθος γιά τήν ἐλευθερία. 6. Ἡ σύγκρουση πῆρε τή μορφή ὁδομαχιῶν καί στήν ἀρχή ὑπερίσχυσαν οἱ Θηβαῖοι μέ τήν ἀνδρεία τους καί σκότωναν πολλούς ἀπό τούς ἀντιπάλους τους. Ἀλλά ὅταν ἄρχισαν νά τούς χτυποῦν μέ κεραμίδες ἀπό τά σπίτια καί νά τούς πληγώνουν τά παιδιά καί οἱ δοῦλοι, τράπηκαν εἰς φυγή. Καί μερικοί πού διέφυγαν ἔξω ἀπό τήν πόλη σώθηκαν, ἄλλοι ὅμως πού κατέφυγαν σ' ἕνα σπίτι, ἀναγκάσθηκαν νά παραδοθοῦν.7. Ὅταν οἱ Θηβαῖοι ἔμαθαν τά καθέκαστα ἀπ' αὐτούς πού διασώθηκαν ἀπό τή μάχη, ἀμέσως ὅρμησαν ἐσπευσμένα μέ ὅλες τους τίς δυνάμεις. Καί καθώς οἱ Πλαταιεῖς, πού ἔμεναν στά χωράφια, ἦταν ἀνέτοιμοι, γιατί δέν περίμεναν μιά τέτοια ἐπίθεση, πολλοί σκοτώθηκαν καί ὄχι καί λίγοι πιάστηκαν ζωντανοί, ἐνῶ ὅλη ἡ χώρα βρέθηκε μέσα σέ μιά ἀναστάτωση καί διαρπαγή.

42.

Οἱ Πλαταιεῖς ἔστειλαν πρεσβευτές στούς Θηβαίους καί τούς ζητοῦσαν νά ἐγκαταλείψουν τό ἔδαφος τῶν Πλαταιῶν καί νά πάρουν πίσω τούς αἰχμαλώτους τους. Ἔτσι, ὅταν ἔγιναν γνωστές οἱ προτάσεις τους, οἱ Θηβαῖοι πῆραν πίσω τούς αἰχμαλώτους των, παρέδωσαν τή λεία πού εἶχαν ἁρπάξει κι ἀποσύρθηκαν. Οἱ Πλαταιεῖς ἔστειλαν πρέσβεις στούς Ἀθηναίους καί τούς ζητοῦσαν βοήθεια καί μετέφεραν τό μεγαλύτερο μέρος ἀπό τά ὑπάρχοντά τους μέσα στήν πόλη. 2. Οἱ Ἀθηναῖοι, ὅταν ἔμαθαν τά γεγονότα τῶν Πλαταιῶν, ἔστειλαν ἀμέσως μιά ἀξιόλογη δύναμη. Ἡ δύναμη αὐτή κινήθηκε ἐσπευσμένα, ἀλλά δέν ἐπρόφθασε τούς Θηβαίους, καί συγκέντρωσε τά ὑπόλοιπα πράγματα ἀπό τήν ὕπαιθρο καί τά μετέφερε στήν πόλη, ἐνῶ τά παιδιά, τίς γυναῖκες καί τούς ἀμάχους τούς συγκέντρωσε καί τούς ἔστειλε στήν Ἀθήνα.

3. Οἱ Λακεδαιμόνιοι, κρίνοντας ὅτι ἤδη οἱ Ἀθηναῖοι εἶχαν

σπονδὰς ὑπὸ τῶν Ἀθηναίων, δύναμιν ἀξιόλογον ἤθροισαν
ἔκ τε τῆς Λακεδαίμονος καὶ παρὰ τῶν ἄλλων Πελοποννη-
4 *σίων. συνεμάχουν δὲ τότε Λακεδαιμονίοις Πελοποννήσιοι*
μὲν πάντες πλὴν Ἀργείων· οὗτοι δ' ἡσυχίαν εἶχον· τῶν δ'
ἐκτὸς τῆς Πελοποννήσου Μεγαρεῖς, Ἀμβρακιῶται, Λευκά-
διοι, Φωκεῖς, Βοιωτοί, Λοκροὶ τῶν μὲν πρὸς Εὔβοιαν
5 *ἐστραμμένων οἱ πλείους, τῶν δ' ἄλλων Ἀμφισσεῖς. τοῖς δ'*
Ἀθηναίοις συνεμάχουν οἱ τὴν παράλιον τῆς Ἀσίας οἰκοῦντες
Κᾶρες καὶ Δωριεῖς καὶ Ἴωνες καὶ Ἑλλησπόντιοι καὶ νη-
σιῶται πάντες πλὴν τῶν ἐν Μήλῳ καὶ Θήρᾳ κατοικούντων,
ὁμοίως δὲ καὶ οἱ ἐπὶ Θρᾴκης πλὴν Χαλκιδέων καὶ Ποτιδαι-
ατῶν· πρὸς δὲ τούτοις Μεσσήνιοι μὲν οἱ τὴν Ναύπακτον
οἰκοῦντες καὶ Κερκυραῖοι. τούτων ναυτικὸν παρείχοντο
Χῖοι, Λέσβιοι, Κερκυραῖοι, αἱ δ' ἄλλαι πᾶσαι πεζοὺς στρα-
τιώτας ἐξέπεμπον. σύμμαχοι μὲν οὖν ἀμφοτέροις ὑπῆρχον
οἱ προειρημένοι.

6 *Λακεδαιμόνιοι δὲ δύναμιν ἀξιόλογον προχειρισάμενοι*
τὴν ἡγεμονίαν ἔδωκαν Ἀρχιδάμῳ τῷ βασιλεῖ. οὗτος δὲ μετὰ
τῆς δυνάμεως ἐνέβαλεν εἰς τὴν Ἀττικήν, τοῖς δὲ φρουρίοις
προσβολὰς ἐποιεῖτο καὶ τῆς χώρας πολλὴν ἐδῄωσε. τῶν δ'
Ἀθηναίων παροξυνομένων διὰ τὴν τῆς χώρας καταδρομήν,
καὶ βουλομένων παρατάξασθαι τοῖς πολεμίοις, Περικλῆς
στρατηγὸς ὢν καὶ τὴν ὅλην ἡγεμονίαν ἔχων παρεκάλει τοὺς
νέους ἡσυχίαν ἔχειν, ἐπαγγελλόμενος ἄνευ κινδύνων ἐκβα-
7 *λεῖν τοὺς Λακεδαιμονίους ἐκ τῆς Ἀττικῆς. πληρώσας οὖν*
ἑκατὸν τριήρεις καὶ δύναμιν ἀξιόλογον εἰς τὰς ναῦς ἐνθέ-
μενος, καὶ στρατηγὸν ἐπιστήσας Καρκίνον καὶ ἑτέρους τι-
νάς, ἐξέπεμψεν εἰς τὴν Πελοπόννησον. οὗτοι δὲ πολλὴν τῆς

καταπατήσει τίς συνθῆκες, συγκέντρωσαν ἀξιόλογη δύναμη καί ἀπό τή Λακεδαίμονα, καί ἀπό τίς ἄλλες Πελοποννησιακές πόλεις. 4. Σύμμαχοι τῶν Λακεδαιμονίων ἐκεῖνο τόν καιρό ἦταν ὅλοι οἱ Πελοποννήσιοι ἐκτός ἀπό τούς Ἀργείους, πού ἔμεναν οὐδέτεροι. Ἀπ' τούς λαούς ἔξω ἀπό τήν Πελοπόννησο σύμμαχοί τους ἦταν οἱ Μεγαρεῖς, οἱ Ἀμβρακιῶτες, οἱ Λευκάδιοι, οἱ Φωκεῖς, οἱ Βοιωτοί καί ἀπό τούς Λοκρούς[31] ἡ πλειοψηφία αὐτῶν πού βλέπουν πρός τήν Εὔβοια κι ἀπό τούς ὑπολοίπους οἱ Ἀμφισσεῖς. 5. Οἱ Ἀθηναῖοι εἶχαν συμμάχους τούς λαούς τῶν παραλίων τῆς Μ. Ἀσίας, συγκεκριμένα τούς Κάρες, τούς Δωριεῖς, τούς Ἴωνες καί τούς Ἑλλησπόντιους καί τούς νησιῶτες ὅλους, ἐκτός ἀπό τούς κατοίκους τῆς Μήλου καί Θήρας, ἐπίσης καί τούς Θρακιῶτες ἐκτός ἀπό τούς Χαλκιδεῖς καί τούς Ποτιδαιάτες. Εἶχαν ἀκόμα τούς Μεσσηνίους πού εἶχαν ἐγκατασταθῆ στή Ναύπακτο καί τούς Κερκυραίους. Ἀπ' αὐτούς πλοῖα παρεῖχαν οἱ Χιῶτες, οἱ Λέσβιοι καί οἱ Κερκυραῖοι, ἐνῶ ὅλοι οἱ ἄλλοι ἔστελναν πεζικό. Αὐτοί λοιπόν ἦταν οἱ σύμμαχοι καί τῶν δύο πλευρῶν.

6. Οἱ Λακεδαιμόνιοι, ἀφοῦ ἑτοίμασαν μιά ἰσχυρή στρατιωτική δύναμη, τήν ἔθεσαν κάτω ἀπό τίς διαταγές τοῦ βασιλιᾶ Ἀρχιδάμου, ὁ ὁποῖος εἰσέβαλε στήν Ἀττική μέ τό στρατό του, ἐνεργοῦσε ἀλλεπάλληλες ἐπιθέσεις στά φρούρια καί λεηλάτησε μεγάλο μέρος τῆς ὑπαίθρου. Κι ὅταν οἱ Ἀθηναῖοι ὀργίζονταν γιά τή λεηλασία τῆς χώρας τους κι ἤθελαν νά δώσουν μάχη μέ τόν ἐχθρό, ὁ Περικλῆς, πού ἦταν στρατηγός καί εἶχε τό γενικό πρόσταγμα, συνιστοῦσε στούς νέους νά μήν ἀδημονοῦν καί ὑπόσχονταν νά ἐκδιώξη τούς Λακεδαιμονίους ἀπό τήν Ἀττική χωρίς κινδύνους. 7. Ἐξόπλισε λοιπόν ἑκατό τριήρεις, στίς ὁποῖες ἐπιβίβασε σημαντική δύναμη, διόρισε στρατηγό τόν Καρκίνο μαζί μέ μερικούς ἄλλους καί τούς ἐξαπέστειλε στήν Πελοπόννησο. Αὐτή ἡ δύναμη, ἀφοῦ ἐλεηλάτησε μεγάλη ἔκταση τοῦ Πελοποννησιακοῦ ἐδάφους κατά

31. Οἱ Λοκροί τοῦ Εὐβοϊκοῦ κόλπου λέγονταν Ὀπούντιοι καί οἱ ἄλλοι πρός τόν Κορινθιακό κόλπο λέγονταν Ὀζόλαι.

*παραθαλαττίου χώρας πορθήσαντες καί τινα τῶν φρου-
ρίων ἑλόντες κατεπλήξαντο τοὺς Λακεδαιμονίους· διὸ καὶ
τὴν ἐκ τῆς Ἀττικῆς δύναμιν ταχέως μεταπεμψάμενοι πολλὴν
8 ἀσφάλειαν τοῖς πολεμίοις παρείχοντο. τούτῳ δὲ τῷ τρόπῳ
τῆς Ἀττικῆς ἐλευθερωθείσης, ὁ μὲν Περικλῆς ἀποδοχῆς
ἐτύγχανε παρὰ τοῖς πολίταις, ὡς δυνάμενος στρατηγεῖν καὶ
τοῖς Λακεδαιμονίοις διαπολεμεῖν.*

*43. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀπολλοδώρου Ῥωμαῖοι
κατέστησαν ὑπάτους Μάρκον Γεγάνιον καὶ Λούκιον Σέρ-
γιον. ἐπὶ δὲ τούτων ὁ τῶν Ἀθηναίων στρατηγὸς οὐ διέλιπε
τὴν μὲν χώραν τῶν Πελοποννησίων λεηλατῶν καὶ κατα-
φθείρων, τὰ δὲ φρούρια πολιορκῶν· προσγενομένων δὲ
αὐτῷ πεντήκοντα τριήρων ἐκ τῆς Κερκύρας, πολὺ μᾶλλον
ἐπόρθει τὴν Πελοποννησίων χώραν, καὶ μάλιστα τῆς παρα-
θαλαττίου τὴν καλουμένην Ἀκτὴν ἐδῄου καὶ τὰς ἐπαύλεις
2 ἐνεπύριζε. μετὰ δὲ ταῦτα πλεύσας ἐπὶ Μεθώνην τῆς Λακω-
νικῆς, τήν τε χώραν κατέσυρε καὶ τῇ πόλει προσβολὰς
ἐποιεῖτο. ἔνθα δὴ Βρασίδας ὁ Σπαρτιάτης, νέος μὲν ὢν τὴν
ἡλικίαν, ἀλκῇ δὲ καὶ ἀνδρείᾳ διαφέρων, ὁρῶν τὴν Μεθώνην
κινδυνεύουσαν ἐκ βίας ἁλῶναι, παραλαβών τινας τῶν
Σπαρτιατῶν διὰ μέσου τῶν πολεμίων ἐσκεδασμένων ἐτόλ-
μησε διεκπερᾶσαι, καὶ πολλοὺς ἀνελὼν παρεισέπεσεν εἰς τὸ
3 χωρίον. γενομένης δὲ πολιορκίας, καὶ τοῦ Βρασίδου λαμ-
πρότατα κινδυνεύσαντος, Ἀθηναῖοι μὲν οὐ δυνάμενοι τὸ
χωρίον ἑλεῖν ἀπεχώρησαν πρὸς τὰς ναῦς, Βρασίδας δὲ δια-
σεσωκὼς τὴν Μεθώνην διὰ τῆς ἰδίας ἀρετῆς καὶ ἀνδρείας*

μῆκος τῶν ἀκτῶν καί κατέλαβε καί μερικά φρούρια, κατετρόμαξε τούς Λακεδαιμονίους. Γι' αὐτό καί ἀνεκάλεσαν ἐσπευσμένα τό στρατό τους ἀπό τήν Ἀττική κι ἔτσι μπόρεσαν νά ἐξασφαλίσουν σέ μεγάλο βαθμό προστασία στούς Λακεδαιμονίους. 8. Ἀφοῦ μέ τόν τρόπο αὐτόν ἐλευθερώθηκε ἡ Ἀττική, ὁ Περικλῆς ἀπέκτησε μεγάλο κῦρος μεταξύ τῶν πολιτῶν ὡς ἄνθρωπος ἱκανός νά ἀσκῆ τήν στρατηγία καί νά διεξάγη μέ ἐπιτυχία τόν πόλεμο ἐναντίον τῶν Λακεδαιμονίων.

43.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Ἀπολλόδωρος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Μάρκο Γεγάνιο καί τόν Λεύκιο Σέργιο. Στή διάρκεια αὐτοῦ τοῦ ἔτους ὁ στρατηγός τῶν Ἀθηναίων δέν ἔπαυσε νά λεηλατῆ καί νά καταστρέφη τή χώρα τῶν Πελοποννησίων καί νά πολιορκῆ τά φρούρια. Κι ὅταν προστέθηκαν στήν δύναμή του ἄλλες πενήντα τριήρεις ἀπό τήν Κέρκυρα, ἄρχισε νά ἐντείνη περισσότερο τήν καταστροφή τῆς ὑπαίθρου τῶν Πελοποννησίων καί πρό παντός τήν παραλιακή ζώνη, τή λεγόμενη Ἀκτή[32], τήν ὁποία λεηλατοῦσε καί πυρπολοῦσε τίς ἀγροικίες. 2. Μετά ἀπ' αὐτό, ἔπλευσε στή Μεθώνη τῆς Λακωνικῆς, ὅπου σάρωσε τήν ὕπαιθρο καί ἐνεργοῦσε ἐπιθέσεις ἐναντίον τῆς πόλεως. Τότε ὁ Βρασίδας ὁ Σπαρτιάτης, πού ἦταν νέος στήν ἡλικία καί διακρινόταν γιά τή σωματική του ρώμη καί τό θάρρος του, βλέποντας ὅτι ἡ Μεθώνη κινδύνευε νά κυριευθῆ ἐξ ἐφόδου, παρέλαβε μερικούς Σπαρτιάτες καί τόλμησε νά περάση διά μέσου τῶν ἐχθρῶν, πού ἦταν διασκορπισμένοι, σκότωσε πολλούς καί κατόρθωσε νά εἰσχωρήση στό ὀχυρό. 3. Στήν πολιορκία πού ἐπακολούθησε ὁ Βρασίδας ἀγωνίσθηκε τόσο λαμπρά, πού οἱ Ἀθηναῖοι, καθώς δέν μποροῦσαν νά κυριεύσουν τό ὀχυρό, ἀναγκάσθηκαν νά ἀποσυρθοῦν πρός τά πλοῖα, κι ὁ Βρασίδας, πού ἔσωσε τή Μεθώνη μέ τήν προσωπική του ἀξία καί παλ-

32. Ἡ ἀνατολική παραλία μεταξύ Ἀργολίδος καί Λακωνίας.

ἀποδοχῆς ἔτυχε παρὰ τοῖς Σπαρτιάταις. διὰ δὲ τὴν ἀνδρα-
γαθίαν ταύτην φρονηματισθείς, πολλάκις ἐν τοῖς ὕστερον
χρόνοις παραβόλως ἀγωνιζόμενος μεγάλην δόξαν ἀνδρείας
4 ἀπηνέγκατο. Ἀθηναῖοι δὲ περιπλεύσαντες εἰς τὴν Ἠλείαν
τήν τε χώραν ἐπόρθουν καὶ Φειὰν χωρίον Ἠλείων ἐπολιόρ-
κουν. ἐκβοηθησάντων δὲ τῶν Ἠλείων, μάχῃ τε ἐνίκησαν καὶ
πολλοὺς ἀποκτείναντες τῶν πολεμίων εἷλον τὰς Φειὰς κατὰ
5 κράτος. μετὰ δὲ ταῦτα τῶν Ἠλείων πανδημεὶ παραταξαμέ-
νων ἀπεκρούσθησαν εἰς τὰς ναῦς· εἶτ' ἀποπλεύσαντες εἰς
τὴν Κεφαλληνίαν, καὶ τοὺς ταύτην κατοικοῦντας εἰς τὴν
συμμαχίαν προσαγαγόμενοι τὸν εἰς τὰς Ἀθήνας πλοῦν ἐποι-
ήσαντο.

44. μετὰ δὲ ταῦτα Ἀθηναῖοι στρατηγὸν προχειρισάμενοι
Κλεόπομπον ἐξαπέστειλαν μετὰ νεῶν τριάκοντα, προστά-
ξαντες τήν τε Εὔβοιαν παραφυλάττειν καὶ Λοκροῖς πολεμεῖν.
ὁ δ' ἐκπλεύσας τήν τε παραθαλάττιον τῆς Λοκρίδος ἐδῄωσε
καὶ πόλιν Θρόνιον ἐξεπολιόρκησε, τοῖς δ' ἀντιταξαμένοις
τῶν Λοκρῶν συνάψας μάχην ἐνίκησε περὶ πόλιν Ἀλόπην.
ἔπειτα τὴν προκειμένην τῆς Λοκρίδος νῆσον, ὀνομαζομένην
Ἀταλάντην, ἐπιτείχισμα τῆς Λοκρίδος κατεσκεύασε, πολεμῶν
2 πρὸς τοὺς ἐγχωρίους. Ἀθηναῖοι δ' ἐγκαλοῦντες Αἰγινήταις ὡς
συνηργηκόσι Λακεδαιμονίοις ἀνέστησαν αὐτοὺς ἐκ τῆς πό-
λεως, ἐκ δὲ τῶν πολιτῶν οἰκήτορας ἐκπέμψαντες κατεκλη-
3 ρούχησαν τήν τε Αἴγιναν καὶ τὴν χώραν. Λακεδαιμόνιοι δὲ

ληκαριά, ἀπέκτησε μεγάλη ἐκτίμηση μεταξύ τῶν Σπαρτιατῶν. Κι ἀπ' αὐτό τό ἀνδραγάθημα ἀπέκτησε ὑψηλό φρόνημα, ὥστε στά κατοπινά χρόνια σέ πολλές περιστάσεις πολέμησε παράφορα κι ἀπέκτησε μεγάλη δόξα γιά τήν ἀνδρεία του. 4. Οἱ Ἀθηναῖοι πλέοντας στά παράλια τῆς Ἠλείας λεηλατοῦσαν τή χώρα καί πολιόρκησαν τή Φειά, ἕνα ὀχυρό τῶν Ἠλείων. Οἱ Ἠλεῖοι, πού ἔσπευσαν νά βοηθήσουν στήν ὑπεράσπιση τοῦ φρουρίου, νικήθηκαν στή μάχη κι οἱ Ἀθηναῖοι σκότωσαν πολλούς ἀπό τούς ἐχθρούς καί κατέλαβαν τή Φειά μέ ἔφοδο. Ἀλλά, ὅταν ὕστερα ἀπ' αὐτό, οἱ Ἠλεῖοι μέ ὅλες τους τίς δυνάμεις ἀντιμετώπισαν τούς Ἀθηναίους, τούς ἀνάγκασαν ν' ἀποχωρήσουν στά πλοῖα. Κατόπιν ἀπέπλευσαν στήν Κεφαλονιά, προσείλκυσαν τούς κατοίκους στή συμμαχία τους καί ἔπλευσαν πρός τήν Ἀθήνα.

44.

Ὕστερα ἀπ' αὐτά τά γεγονότα, οἱ Ἀθηναῖοι ἐξέλεξαν στρατηγό τόν Κλεόπομπο καί τόν ἐξαπέστειλαν μέ τριάντα πλοῖα καί μέ τήν ἐντολή νά φρουρῇ τήν Εὔβοια καί νά πολεμήσῃ τούς Λοκρούς. Κι ὁ Κλεόπομπος ἐξέπλευσε καί λεηλάτησε τά παράλια τῆς Λοκρίδας καί κατέλαβε μέ πολιορκία τήν πόλη Θρόνιο, ἐνῶ τούς Λοκρούς πού ἀντιτάχθηκαν τούς νίκησε σέ μιά μάχη, πού συνήφθη κοντά στήν πόλη Ἀλόπη[33]. Ἔπειτα τή νῆσο πού βρίσκεται μπροστά ἀπό τή Λοκρίδα καί εἶναι γνωστή ὡς Ἀταλάντη, τήν μετέτρεψε σέ φρούριο στά σύνορα τῆς Λοκρίδος γιά τίς πολεμικές ἐπιχειρήσεις ἐναντίον τῶν κατοίκων τῆς περιοχῆς. 2. Οἱ Ἀθηναῖοι πάλι κατηγόρησαν τούς Αἰγινῆτες ὡς συνεργάτες τῶν Λακεδαιμονίων καί τούς ἔδιωξαν ἀπό τήν πόλη τους, ἔστειλαν Ἀθηναίους ἀποίκους καί μοίρασαν σέ κλήρους τήν πόλη καί ὅλο τό ἔδαφος τῆς Αἴγινας. 3. Οἱ Λακεδαιμόνιοι παραχώρησαν στούς φυγάδες Αἰγινῆτες

33. Τό Θρόνιο καί ἡ Ἀλόπη ἦταν στούς Ὀπούντιους Λοκρούς ἀπέναντι ἀπ' τή βόρεια Εὔβοια.

τοῖς ἐκπεπτωκόσιν Αἰγινήταις ἔδωκαν οἰκεῖν τὰς καλουμένας Θυρέας διὰ τὸ καὶ τοὺς Ἀθηναίους δεδωκέναι τοῖς ἐκ Μεσσήνης ἐκβληθεῖσι κατοικεῖν Ναύπακτον. Ἀθηναῖοι δὲ Περικλέα μετὰ δυνάμεως ἐξέπεμψαν πολεμήσοντα τοῖς Μεγαρεῦσιν. οὗτος δὲ πορθήσας τὴν χώραν καὶ τὰς κτήσεις αὐτῶν λυμηνάμενος μετὰ πολλῆς ὠφελείας ἐπανῆλθεν εἰς τὰς Ἀθήνας.

45. Λακεδαιμόνιοι δὲ μετὰ Πελοποννησίων καὶ τῶν
ἄλλων συμμάχων ἐνέβαλον εἰς τὴν Ἀττικὴν τὸ δεύτερον. ἐπι-
πορευόμενοι δὲ τὴν χώραν ἐδενδροτόμουν καὶ τὰς ἐπαύλεις
ἐνεπύριζον, καὶ πᾶσαν σχεδὸν τὴν γῆν ἐλυμήναντο πλὴν τῆς
καλουμένης Τετραπόλεως· ταύτης δ᾽ ἀπέσχοντο διὰ τὸ τοὺς
προγόνους αὐτῶν ἐνταῦθα κατῳκηκέναι καὶ τὸν Εὐρυσθέα
νενικηκέναι τὴν ὁρμὴν ἐκ ταύτης ποιησαμένους· δίκαιον
γὰρ ἡγοῦντο τοῖς εὐηργετηκόσι τοὺς προγόνους παρὰ τῶν
2 *ἐκγόνων τὰς προσηκούσας εὐεργεσίας ἀπολαμβάνειν. οἱ*
δ᾽ Ἀθηναῖοι παρατάξασθαι μὲν οὐκ ἐτόλμων, συνεχόμενοι
δ᾽ ἐντὸς τῶν τειχῶν ἐνέπεσον εἰς λοιμικὴν περίστασιν· πολ-
λοῦ γὰρ πλήθους καὶ παντοδαποῦ συνερρυηκότος εἰς τὴν
πόλιν διὰ τὴν στενοχωρίαν εὐλόγως εἰς νόσους ἐνέπιπτον,
3 *ἕλκοντες ἀέρα διεφθαρμένον. διόπερ οὐ δυνάμενοι τοὺς*
πολεμίους ἐκβαλεῖν ἐκ τῆς χώρας, πάλιν ναῦς πολλὰς ἐξέ-
πεμπον εἰς Πελοπόννησον στρατηγὸν ἐπιστήσαντες Περι-
κλέα. οὗτος δὲ πολλὴν χώραν τῆς παραθαλαττίου δῃώσας
καί τινας πόλεις πορθήσας, ἐποίησεν ἀπελθεῖν ἐκ τῆς

γιά νά ἐγκατασταθοῦν τίς λεγόμενες Θυρέες[34], γιατί καί οἱ Ἀθηναῖοι εἶχαν παραχωρήσει τή Ναύπακτο, γιά νά τήν κατοικήσουν, στούς Μεσσηνίους, πού εἶχαν διωχθῆ ἀπό τήν πατρίδα τους. Ἐπίσης οἱ Ἀθηναῖοι ἔστειλαν τόν Περικλῆ μέ στρατό, γιά νά πολεμήση ἐναντίον τῶν Μεγαρέων. Ὁ Περικλῆς λεηλάτησε τή χώρα τους καί, ἀφοῦ κατέστρεψε τά νοικοκυριά τους, ἐπέστρεψε στήν Ἀθήνα μέ πολλή λεία.

45.

Οἱ Λακεδαιμόνιοι μαζί μέ τούς Πελοποννησίους καί τούς ἄλλους συμμάχους τους εἰσέβαλαν στήν Ἀττική γιά δεύτερη φορά. Καί διατρέχοντας τή χώρα ἔκοβαν τά δέντρα καί πυρπολοῦσαν τίς ἀγροικίες καί ρήμαζαν σχεδόν ὅλη τή χώρα, ἐκτός ἀπό τήν περιοχή τῆς λεγομένης Τετραπόλεως[35]. Αὐτή τήν περιοχή τήν σεβάστηκαν, γιατί ἐκεῖ εἶχαν ἐγκατασταθῆ κάποτε οἱ πρόγονοί τους καί εἶχαν νικήσει τόν Εὐρυσθέα ἐξορμώντας ἀπό τό μέρος αὐτό. Γιατί θεωροῦσαν δίκαιο οἱ ἀπόγονοι ν᾽ ἀνταποδίδουν τήν εὐεργεσία σέ κείνους πού εἶχαν εὐεργετήσει τούς προγόνους τους[36]. 2. Οἱ Ἀθηναῖοι δέν τολμοῦσαν νά τούς ἀντιμετωπίσουν σέ μάχη ἐκ παρατάξεως καί, καθώς ἦταν περιορισμένοι μέσα στά τείχη, χτυπήθηκαν ἀπό μιά λοιμική πού ἐνέσκηψε. Γιατί, ὅπως εἶχε συρρεύσει στήν πόλη ἕνα μεγάλο πλῆθος κάθε λογῆς, ἦταν ἑπόμενο ἐξ αἰτίας τοῦ συνωστισμοῦ νά ἐμφανισθοῦν ἀρρώστειες, γιατί ἀνέπνεαν μολυσμένον ἀέρα. 3. Γι᾽ αὐτό, καθώς δέν μποροῦσαν νά ἐκδιώξουν τόν ἐχθρό ἀπό τή χώρα, ἔστελναν πάλι πολλά πλοῖα στήν Πελοπόννησο μέ στρατηγό τόν Περικλῆ. Κι αὐτός ἐλεηλάτησε μεγάλη παραθαλάσσια ἔκταση καί κατέστρεψε μερικές πόλεις μ᾽ ἀποτέλεσμα νά ἀναγκασθοῦν οἱ

34. Στή βόρεια Λακωνική, κοντά στά σύνορα μέ τήν Ἀργολίδα.

35. Περιλάμβανε τούς δήμους Μαραθῶνος, Οἰνόης, Προβαλίνθου καί Τρικορύθου.

36. Οἱ Ἀθηναῖοι ἦταν οἱ μόνοι πού πρόσφεραν ἑστία στούς Ἡρακλεῖδες, στήν Τρικόρυφο τῆς Τετραπόλεως.

4 *Ἀττικῆς τοὺς Λακεδαιμονίους. μετὰ δὲ ταῦθ' οἱ Ἀθηναῖοι,
τῆς μὲν χώρας δεδενδροκοπημένης, τῆς δὲ νόσου πολλοὺς
διαφθειρούσης, ἐν ἀθυμίᾳ καθειστήκεσαν, καὶ τὸν Περικλέα
νομίζοντες αἴτιον αὐτοῖς γεγονέναι τοῦ πολέμου δι' ὀργῆς
εἶχον. διόπερ ἀποστήσαντες αὐτὸν τῆς στρατηγίας καὶ μι-
κράς τινας ἀφορμὰς ἐγκλημάτων λαβόντες, ἐζημίωσαν*
5 *αὐτὸν ὀγδοήκοντα ταλάντοις. μετὰ δὲ ταῦτα πρεσβείας
ἀποστείλαντες Λακεδαιμονίοις ἠξίουν καταλύσασθαι τὸν
πόλεμον· ὡς δὲ οὐδεὶς αὐτοῖς προσεῖχεν, ἠναγκάζοντο πά-
λιν τὸν Περικλέα στρατηγὸν αἱρεῖσθαι.*

Ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

46. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἐπαμείνονος Ῥωμαῖοι κατέστησαν ὑπάτους Λεύκιον Παπίριον καὶ Αὖλον Κορνήλιον Μακερῖνον. ἐπὶ δὲ τούτων ἐν μὲν ταῖς Ἀθήναις Περικλῆς ὁ στρατηγὸς ἐτελεύτησεν, ἀνὴρ γένει καὶ πλούτῳ, πρὸς δὲ τούτοις δεινότητι λόγου καὶ στρατηγίᾳ πολὺ προέχων τῶν πολιτῶν.

2 *Ὁ δὲ δῆμος φιλοτιμούμενος κατὰ κράτος ἑλεῖν τὴν Πο-
τίδαιαν, ἐξαπέστειλεν Ἅγνωνα στρατηγὸν ἔχοντα τὴν δύ-
ναμιν ἣν πρότερον εἶχε Περικλῆς. οὗτος δὲ μετὰ παντὸς τοῦ
στόλου καταπλεύσας εἰς τὴν Ποτίδαιαν παρεσκευάσατο τὰ
πρὸς τὴν πολιορκίαν· μηχανάς τε γὰρ παντοδαπὰς παρε-
σκεύασε πολιορκητικὰς καὶ ὅπλων καὶ βελῶν πλῆθος, ἔτι δὲ
σίτου δαψίλειαν ἱκανὴν πάσῃ τῇ δυνάμει. προσβολὰς δὲ
ποιούμενος συνεχεῖς καθ' ἑκάστην ἡμέραν διέτριβε πολὺν*
3 *χρόνον, οὐ δυνάμενος ἑλεῖν τὴν πόλιν. οἱ μὲν γὰρ πολιορ-
κούμενοι διὰ τὸν ἐκ τῆς ἁλώσεως φόβον ἐρρωμένως ἠμύ-
νοντο καὶ ταῖς ὑπεροχαῖς τῶν τειχῶν πεποιθότες ἐπλεονέ-
κτουν τοὺς ἐκ τοῦ λιμένος· ἡ δ' ἐκ τοῦ λοιμοῦ νόσος τοὺς
πολιορκοῦντας συνέχουσα πολλοὺς ἀνῄρει, καὶ τὸ στρατό-*

Λακεδαιμόνιοι ν' ἀποχωρήσουν ἀπό τήν Ἀττική. 4. Ὕστερ' ἀπ' αὐτά οἱ Ἀθηναῖοι, τώρα πού εἶχε δενδροτομηθῆ ἡ χώρα τους κι ἡ λοιμική ἐξολόθρευσε πολλούς, βρίσκονταν σέ κατάσταση ἐκνευρισμοῦ καί ὀργίζονταν ἐναντίον τοῦ Περικλῆ, πού τόν θεωροῦσαν αἴτιο τοῦ πολέμου. Γι' αὐτό τόν ἀπομάκρυναν ἀπό τή στρατηγία, πιάστηκαν ἀπό ἀσήμαντες ἀφορμές γιά νά τόν κατηγορήσουν καί τοῦ ἐπέβαλαν ἕνα πρόστιμο ἀπό ὀγδόντα τάλαντα. 5. Ἔπειτα ἔστειλαν πρέσβεις στούς Λακεδαιμονίους καί τούς ζητοῦσαν νά τερματισθῆ ὁ πόλεμος. Κι ὅταν εἶδαν ὅτι κανείς δέν τούς ἔδωσε σημασία, ἀναγκάσθηκαν πάλι νά ἐκλέξουν στρατηγό τόν Περικλῆ.

Αὐτά εἶναι τά γεγονότα αὐτῆς τῆς χρονιᾶς.

46.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Ἐπαμείνων, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Λεύκιο Παπίριο καί τόν Αὖλο Κορνήλιο Μακερῖνο. Αὐτήν τή χρονιά στήν Ἀθήνα πέθανε ὁ στρατηγός Περικλῆς, πού δέν ἦταν μόνο εὐγενής καί πλούσιος, ἀλλά ὑπερεῖχε ὅλων τῶν συμπολιτῶν του στή ρητορική δεινότητα καί τή στρατηγική ἱκανότητα.

2. Ἐπειδή ὁ λαός φιλοδοξοῦσε νά καταλάβη ἐξ ἐφόδου τήν Ποτίδαια, ἔστειλε τόν Ἅγνωνα ὡς στρατηγό μέ τή στρατιωτική δύναμη πού εἶχε πρίν ὁ Περικλῆς. Αὐτός κατέπλευσε μέ ὅλον τό στόλο στήν Ποτίδαια καί ἔκανε ὅλη τήν ἀναγκαία προπαρασκευή γιά τήν πολιορκία. Ἑτοίμασε δηλ. παντός εἴδους πολιορκητικές μηχανές καί πλῆθος ἀπό ὅπλα καί βέλη, καθώς καί ἄφθονο σιτάρι, πού νά ἐπαρκῆ γιά ὅλη τή δύναμη. Ὁ Ἅγνων κάθε μέρα ἐνεργοῦσε συνεχεῖς ἐπιθέσεις καί ἔμενε ἐκεῖ πολύν καιρό, χωρίς νά μπορῆ νά καταλάβη τήν πόλη. 3. Γιατί οἱ πολιορκούμενοι ἀπό τό φόβο τῆς αἰχμαλωσίας προέβαλαν σθεναρή ἀντίσταση καί ἔχοντας ἐμπιστοσύνη στά ὑψηλά τείχη ὑπερίσχυαν τῶν Ἀθηναίων, πού ἔκαναν ἐπιθέσεις ἀπό τό λιμάνι. Στό μεταξύ ἡ λοιμική πού ἁπλωνόταν μεταξύ τῶν πολιορκητῶν ὁδηγοῦσε πολλούς στό θάνατο κι ὁ στρατός

4 πεδον ἀθυμία κατεῖχεν. ὁ δ' Ἅγνων εἰδὼς τοὺς Ἀθηναίους
δεδαπανηκότας εἰς τὴν πολιορκίαν πλείω τῶν χιλίων τα-
λάντων καὶ χαλεπῶς διακειμένους πρὸς τοὺς Ποτιδαιάτας
διὰ τὸ πρώτους ἀποστῆναι πρὸς τοὺς Λακεδαιμονίους, ἐφο-
βεῖτο λῦσαι τὴν πολιορκίαν· διόπερ ἠναγκάζετο διακαρτε-
ρεῖν καὶ τοὺς στρατιώτας ἀναγκάζειν παρὰ δύναμιν βίαν
5 προσάγειν τῇ πόλει. ἐπεὶ δὲ τῶν πολιτῶν πολλοὶ διεφθεί-
ροντο κατὰ τὰς προσβολὰς καὶ κατὰ τὴν ἐκ τοῦ λοιμοῦ νό-
σον, ἀπολιπὼν μέρος τῆς δυνάμεως ἐπὶ τῆς πολιορκίας ἀπέ-
πλευσεν εἰς τὰς Ἀθήνας, ἀποβεβληκὼς τῶν στρατιωτῶν
πλείους τῶν χιλίων. ἀπελθόντων δὲ τούτων οἱ Ποτιδαιᾶται,
6 τοῦ τε σίτου παντελῶς ἐκλιπόντος καὶ τῶν κατὰ τὴν πόλιν
ἀθυμούντων, ἐπεκηρυκεύσαντο πρὸς τοὺς πολιορκοῦντας
περὶ διαλύσεως. ἀσμένως δὲ κἀκείνων προσδεξαμένων δια-
λύσεις ἐποιήσαντο τοιαύτας, ἀπελθεῖν ἐκ τῆς πόλεως ἅπαν-
τας τοὺς Ποτιδαιάτας, ἄλλο μὲν μηθὲν λαβόντας, ἔχοντας
7 δὲ τοὺς μὲν ἄνδρας ἱμάτιον ἕν, τὰς δὲ γυναῖκας δύο. γενο-
μένων δὲ τούτων τῶν σπονδῶν οἱ μὲν Ποτιδαιᾶται πάντες
μετὰ γυναικῶν καὶ τέκνων ἐξέλιπον τὴν πατρίδα κατὰ τὰς
συνθήκας, καὶ παρελθόντες εἰς τοὺς ἐπὶ Θρᾴκης Χαλκιδεῖς
παρ' αὐτοῖς κατῴκησαν· οἱ δ' Ἀθηναῖοι τῶν πολιτῶν εἰς χι-
λίους οἰκήτορας ἐξέπεμψαν εἰς τὴν Ποτίδαιαν, καὶ τήν τε
πόλιν καὶ τὴν χώραν κατεκληρούχησαν.

47. Ἀθηναῖοι δὲ Φορμίωνα στρατηγὸν προχειρισάμενοι μετὰ εἴκοσι τριήρων ἐξαπέστειλαν. οὗτος δὲ περιπλεύσας τὴν Πελοπόννησον εἰς Ναύπακτον κατῆρε, καὶ θαλαττοκρατῶν τοῦ Κρισαίου κόλπου διεκώλυσε ταύτῃ πλεῖν τοὺς Λακεδαιμονίους. Λακεδαιμόνιοι δὲ δύναμιν ἀξιόλογον ἐξέπεμψαν μετ' Ἀρχιδάμου τοῦ βασιλέως· οὗτος δὲ παρελθὼν τῆς Βοιωτίας εἰς Πλαταιὰς ἐστρατοπέδευσε. μελλόντων δ'

ἦταν πολύ ἐκνευρισμένος. 4. Κι ὁ Ἅγνων, πού ἤξερε ὅτι οἱ Ἀθηναῖοι εἶχαν δαπανήσει γιά τήν πολιορκία περισσότερα ἀπό χίλια τάλαντα καί ἦταν ὀργισμένοι ἐναντίον τῶν Ποτιδαιατῶν, γιατί ἦταν οἱ πρῶτοι πού ἀποστάτησαν πρός τούς Λακεδαιμονίους, φοβόταν νά λύσῃ τήν πολιορκία. Ἔτσι αἰσθανόταν ἀναγκασμένος νά συνεχίζῃ τήν πολιορκία καί νά ὑποχρεώνῃ τούς στρατιῶτες, παρά τή δύναμή τους, νά ἐπιτίθενται ἐναντίον τῆς πόλεως. 5. Ἐπειδή ὅμως πολλοί Ἀθηναῖοι πολίτες χάνονταν κατά τίς ἐπιθέσεις καί ἀπό τή λοιμική, ἄφησε ἕνα μέρος τῆς δυνάμεώς του νά συνεχίσῃ τήν πολιορκία καί ἀπέπλευσε στήν Ἀθήνα, ἀφοῦ εἶχε χάσει πάνω ἀπό χίλιους στρατιῶτες. 6. Ὅταν αὐτοί ἀναχώρησαν, οἱ Ποτιδαιάτες, ἐπειδή οἱ προμήθειές τους σέ σιτηρά εἶχαν ἐξαντληθῆ καί στήν πόλη ὁ λαός ἦταν δύσθυμος, ἔστειλαν κήρυκες πρός τούς πολιορκητές, γιά νά συζητήσουν τούς ὅρους τῆς συνθηκολογήσεως. Ἐκεῖνοι δέχθηκαν πρόθυμα κι ἔγινε συνθηκολόγηση μέ τούς ἑξῆς ὅρους: Ὅλοι οἱ Ποτιδαιάτες νά ἀπέλθουν ἀπό τήν πόλη, χωρίς νά πάρουν τίποτε μαζί τους, ἐκτός ἀπό ἕνα ἱμάτιο οἱ ἄντρες κι ἀπό δύο ἱμάτια οἱ γυναῖκες. 7. Ὅταν οἱ ὅροι τῆς συνθήκης ἔγιναν δεκτοί, ὅλοι οἱ Ποτιδαιάτες μέ τίς γυναῖκες καί τά παιδιά ἐγκατέλειψαν τήν πατρίδα τους, σύμφωνα μέ τή συνθήκη, καί πῆγαν στούς Χαλκιδεῖς στή Θράκη, ὅπου καί ἐγκαταστάθηκαν. Οἱ Ἀθηναῖοι ἔστειλαν στήν Ποτίδαια περί τούς χίλιους ἀποίκους καί μοίρασαν σέ κλήρους καί τήν πόλη καί τήν ὕπαιθρο.

47.

Οἱ Ἀθηναῖοι ἐξέλεξαν στρατηγό τόν Φορμίωνα καί τόν ἐξαπέστειλαν μέ εἴκοσι τριήρεις. Ὁ Φορμίων περιέπλευσε τήν Πελοπόννησο, ἄραξε στή Ναύπακτο καί, καθώς κρατοῦσε ὑπό τόν ἔλεγχό του τόν Κρισαῖο κόλπο, ἐμπόδιζε τούς Λακεδαιμονίους νά πλεύσουν ἐκεῖ. Κι οἱ Λακεδαιμόνιοι ἔστειλαν ἔξω μιά δύναμη ἀξιόλογη μέ τό βασιλιά Ἀρχίδαμο, ὁ ὁποῖος ἔφθασε στή Βοιωτία καί στρατοπέδευσε μπροστά στίς Πλα-

αὐτῶν δῃοῦν τὴν χώραν καὶ παρακαλούντων τοὺς Πλα-
ταιεῖς ἀποστῆναι τῶν Ἀθηναίων, ὡς οὐ προσεῖχον αὐτοῖς,
ἐπόρθησε τὴν χώραν καὶ τὰς κατ᾽ αὐτὴν κτήσεις ἐλυμή-
2 *νατο. μετὰ δὲ ταῦτα τὴν πόλιν περιτειχίσας ἤλπιζε τῇ σπά-*
νει τῶν ἀναγκαίων καταπονήσειν τοὺς Πλαταιεῖς· οὐδὲν δ᾽
ἧττον καὶ μηχανὰς προσάγοντες καὶ διὰ τούτων σαλεύον-
τες τὰ τείχη καὶ προσβολὰς ἀδιαλείπτως ποιούμενοι διετέ-
λουν. ἐπεὶ δὲ οὐδὲ διὰ τῶν προσβολῶν ἠδύναντο χειρώσα-
σθαι τὴν πόλιν, ἀπολιπόντες τὴν ἱκανὴν φυλακὴν ἐπανῆλθον
εἰς Πελοπόννησον.

3 *Ἀθηναῖοι δὲ στρατηγοὺς καταστήσαντες Ξενοφῶντα καὶ*
Φανόμαχον ἀπέστειλαν ἐπὶ Θρᾴκην μετὰ στρατιωτῶν χι-
λίων. οὗτοι δὲ παραγενηθέντες εἰς Σπάρτωλον τῆς Βοτ-
τικῆς ἔτεμον τὴν χώραν, καὶ τὸν σῖτον ἐν χλόῃ διέφθειραν.
προσβοηθησάντων δὲ τοῖς Βοττιαίοις Ὀλυνθίων, ἡττήθησαν
ὑπὸ τούτων μάχῃ· ἀνῃρέθησαν δὲ τῶν Ἀθηναίων οἵ τε στρα-
4 *τηγοὶ καὶ τῶν στρατιωτῶν οἱ πλείους. ἅμα δὲ τούτοις πρατ-*
τομένοις Λακεδαιμόνιοι πεισθέντες ὑπὸ Ἀμβρακιωτῶν
ἐστράτευσαν εἰς Ἀκαρνανίαν. ἡγούμενος δὲ τούτων Κνῆμος
εἶχε στρατιώτας πεζοὺς χιλίους καὶ ναῦς ὀλίγας· προσλα-
βόμενος δὲ καὶ παρὰ τῶν συμμάχων στρατιώτας τοὺς ἱκα-
νοὺς ἧκεν εἰς τὴν Ἀκαρνανίαν καὶ κατεστρατοπέδευσε πλη-
5 *σίον πόλεως τῆς ὀνομαζομένης Στράτου. οἱ δὲ Ἀκαρνᾶνες*
συστραφέντες καὶ τοῖς πολεμίοις ἐνεδρεύσαντες πολλοὺς
ἀπέκτειναν, καὶ συνηνάγκασαν τὸν Κνῆμον ἀπαγαγεῖν τὴν
δύναμιν εἰς τοὺς ὀνομαζομένους Οἰνιάδας.

ταιές. Κι ὅπως ἦταν ἕτοιμος νά λεηλατήση τή χώρα τῶν Πλαταιέων, τούς κάλεσε πρῶτα ν᾽ ἀποστατήσουν ἀπό τούς Ἀθηναίους. Κι ἐπειδή ἐκεῖνοι δέν ἔδιναν καμμιά σημασία στίς προτάσεις του, λεηλάτησε τή χώρα τους κι ἀφάνισε τά νοικοκυριά πού ἦταν σ᾽ αὐτήν. 2. Ἔπειτα περιτείχισε τήν πόλη καί ἤλπιζε νά κάμψη τούς Πλαταιεῖς μέ τήν ἔλλειψη τῶν ἀναγκαίων. Ἐπί πλέον ἔφεραν καί πολιορκητικές μηχανές, μέ τίς ὁποῖες τράνταζαν τό τεῖχος, καί ἐνεργοῦσαν συνεχεῖς ἐπιθέσεις. Κι ἐπειδή οὔτε μέ τίς ἐπιθέσεις δέν μποροῦσαν νά καταλάβουν τήν πόλη, ἄφησαν ἐκεῖ μιά ἰσχυρή φρουρά καί γύρισαν στήν Πελοπόννησο.

3. Οἱ Ἀθηναῖοι διόρισαν στρατηγούς τόν Ξενοφῶντα καί τόν Φανόμαχο καί τούς ἔστειλαν στήν Θράκη μέ χίλιους στρατιῶτες. Ὅταν αὐτή ἡ δύναμη ἔφθασε στή Σπάρτωλο[37] τῆς Βοττικῆς, δενδροτομοῦσε τή χώρα καί κατέστρεφε τό σιτάρι πού ἦταν ἀκόμα χλόη. Ἀλλά ὅταν οἱ Ὀλύνθιοι ἔσπευσαν πρός βοήθεια τῶν Βοττιαίων, νικήθηκαν ἀπ᾽ αὐτούς στή μάχη. Καί σκοτώθηκαν καί οἱ δυό στρατηγοί τῶν Ἀθηναίων καί οἱ περισσότεροι ἀπό τούς στρατιῶτες τους. 4. Κι ἐνῶ συνέβαιναν ὅλ᾽ αὐτά, οἱ Λακεδαιμόνιοι, ὑπακούοντας στό αἴτημα τῶν Ἀμβρακιωτῶν, ἐξεστράτευσαν στήν Ἀκαρνανία. Ἀρχηγός τους ἦταν ὁ Κνῆμος καί εἶχε μαζί του χίλιους πεζούς στρατιῶτες καί λίγα πλοῖα. Παίρνοντας κι ἀπό τούς συμμάχους ἀρκετούς στρατιῶτες, ἔφθασε στήν Ἀκαρνανία καί στρατοπέδευσε κοντά στήν πόλη Στράτο. 5. Ἀλλά οἱ Ἀκαρνᾶνες συγκέντρωσαν τίς δυνάμεις τους κι ἔστησαν ἐνέδρα, σκότωσαν πολλούς κι ἀνάγκασαν τόν Κνῆμο ν᾽ ἀποσύρη τίς δυνάμεις του στούς λεγόμενους Οἰνιάδες.[38]

37. Στή Χαλκιδική, κοντά στήν Ὄλυνθο.

38. Στή νότια Ἀκαρνανία.

*48. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους Φορμίων ὁ τῶν Ἀθη-
ναίων στρατηγὸς ἔχων εἴκοσι τριήρεις περιέτυχε ναυσὶ Λα-
κεδαιμονίων ἑπτὰ πρὸς ταῖς τετταράκοντα. ναυμαχήσας δὲ
πρὸς ταύτας τήν τε στρατηγίδα ναῦν τῶν πολεμίων κατέ-
δυσε καὶ τῶν ἄλλων πολλὰς ἄπλους ἐποίησε, δώδεκα δὲ
αὐτάνδρους εἷλε, τὰς δὲ λοιπὰς μέχρι τῆς γῆς κατεδίωξεν.
οἱ δὲ Λακεδαιμόνιοι παρ' ἐλπίδας ἡττηθέντες ταῖς ὑπολει-
φθείσαις ναυσὶν ἔφυγον εἰς Πάτρας τῆς Ἀχαΐας. αὕτη μὲν
οὖν ἡ ναυμαχία συνέστη περὶ τὸ Ῥίον καλούμενον. οἱ δ'
Ἀθηναῖοι τρόπαιον στήσαντες καὶ τῷ Ποσειδῶνι περὶ τὸν
Ἰσθμὸν ναῦν καθιερώσαντες ἀπέπλευσαν εἰς πόλιν συμμα-
2 χίδα Ναύπακτον. Λακεδαιμόνιοι δ' ἑτέρας ναῦς ἐξέπεμ-
ψαν εἰς τὰς Πάτρας. αὗται δὲ προσλαβόμεναι τὰς ἐκ τῆς
ναυμαχίας περιλελειμμένας τριήρεις ἠθροίσθησαν εἰς τὸ
Ῥίον· εἰς τὸν αὐτὸν δὲ τόπον καὶ τὸ πεζὸν στρατόπεδον τῶν
Πελοποννησίων κατήντησε καὶ πλησίον τοῦ στόλου κατε-
3 στρατοπέδευσε. Φορμίων δὲ τῇ προγεγενημένῃ νίκῃ φρο-
νηματισθεὶς ἐτόλμησεν ἐπιθέσθαι ταῖς πολεμίαις ναυσὶν
οὔσαις πολλαπλασίαις· καί τινας αὐτῶν καταδύσας καὶ τῶν
ἰδίων ἀποβαλὼν ἀμφίδοξον ἔσχε τὴν νίκην. μετὰ δὲ ταῦτα
Ἀθηναίων ἀποστειλάντων εἴκοσι τριήρεις, οἱ Λακεδαιμόνιοι
φοβηθέντες ἀπέπλευσαν εἰς τὴν Κόρινθον, οὐ τολμῶντες
ναυμαχεῖν.*

Ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

49. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Διοτίμου Ῥωμαῖοι μὲν ὑπά-τους κατέστησαν Γάιον Ἰούλιον καὶ Πρόκλον Οὐεργίνιον Τρίκοστον, Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα ὀγδόην πρὸς ταῖς ὀγδοήκοντα, καθ' ἣν ἐνίκα στάδιον Σύμμαχος Μεσσήνιος ἀπὸ

48.

Αὐτόν τόν καιρό ὁ Φορμίων, ὁ στρατηγός τῶν Ἀθηναίων, μέ εἴκοσι τριήρεις ἔπεσε πάνω σέ σαράντα ἑπτά πλοῖα τῶν Λακεδαιμονίων. Στή ναυμαχία πού ἐπακολούθησε, ἐβύθισε τή ναυαρχίδα τῶν ἐχθρῶν καί ἀχρήστευσε πολλά ἄλλα πλοῖα, δώδεκα τά αἰχμαλώτισε μαζί μέ τά πληρώματα καί τά ὑπόλοιπα τά κατεδίωξε ὥς τή στεριά. Οἱ Λακεδαιμόνιοι μετά τήν ἀπροσδόκητη ἧττα τους κατέφυγαν μέ τά πλοῖα, πού τούς ἀπέμειναν, στήν Πάτρα τῆς Ἀχαΐας. Αὐτή λοιπόν ἡ ναυμαχία συνήφθη στό ἀκρωτήριο Ρίο[39], ὅπως λέγεται. Οἱ Ἀθηναῖοι ἔστησαν τρόπαιο, ἀφιέρωσαν ἕνα πλοῖο στόν Ποσειδῶνα ἐκεῖ στόν πορθμό[40] καί ἀπέπλευσαν γιά τή Ναύπακτο, μιά πόλη σύμμαχό τους. 2. Οἱ Λακεδαιμόνιοι ἔστειλαν ἄλλα πλοῖα στήν Πάτρα, τά ὁποῖα ἑνώθηκαν μέ ἐκεῖνα πού εἶχαν περισωθῆ ἀπό τή ναυμαχία, καί συγκεντρώθηκαν στό Ρίο. Στό ἴδιο μέρος ἔφθασε κι ὁ πεζός στρατός τῶν Πελοποννησίων καί στρατοπέδευσε κοντά στό στόλο. 3. Ὁ Φορμίων μέ τόν ἀέρα τῆς προηγούμενης νίκης ἐτόλμησε νά ἐπιτεθῆ ἐναντίον τῶν ἐχθρικῶν πλοίων πού ἦταν πολλαπλάσια. Καί βύθισε μερικά ἀπ' αὐτά, ἔχασε καί δικά του κι ἔτσι ἡ νίκη του ἦταν ἀκόμα ἀμφίβολη. Ὅταν ὅμως οἱ Ἀθηναῖοι ἔστειλαν ἄλλες εἴκοσι τριήρεις ἀκόμα, οἱ Λακεδαιμόνιοι φοβήθηκαν καί ἀπέπλευσαν στήν Κόρινθο, χωρίς νά τολμήσουν νά δώσουν μάχη.

Αὐτά ἦταν τά γεγονότα πού συνέβησαν αὐτή τή χρονιά.

49.

Ὅταν ἦταν στήν Ἀθήνα ἄρχων ὁ Διότιμος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Γάιο Ἰούλιο καί τόν Πρόκλο Βεργίνιο Τρίκοστο, ἐνῶ οἱ Ἠλεῖοι ὀργάνωναν τήν ὀγδοηκοστή ὀγδόη Ὀλυμπιάδα, κατά τήν ὁποία νίκησε στόν ἀγώνα δρόμου ἑνός σταδίου ὁ Σύμμαχος ὁ Μεσσήνιος ἀπό τή Σικελία. 2. Αὐτόν

39. Ἀκρωτήριο στήν εἴσοδο τοῦ Κορινθιακοῦ κόλπου.

40. Δηλ. στό μέρος πού ἔγινε ἡ ναυμαχία, στόν πορθμό μεταξύ Ρίου καί Ἀντιρρίου. (Ἰδ. Θουκυδ. 2, 84,4).

2 *Σικελίας. ἐπὶ δὲ τούτων Κνῆμος ὁ τῶν Λακεδαιμονίων ναύαρχος ἐν τῇ Κορίνθῳ διατρίβων ἔκρινε τὸν Πειραιᾶ καταλαβέσθαι. ἐπυνθάνετο γὰρ μήτε ναῦς ἐν αὐτῷ καθειλκυσμένας ὑπάρχειν μήτε στρατιώτας εἶναι τεταγμένους ἐπὶ τῆς φυλακῆς· τοὺς γὰρ Ἀθηναίους ἀμελῶς ἔχειν περὶ τῆς τούτου φυλακῆς διὰ τὸ μηδαμῶς ἐλπίζειν τολμῆσαί τινας*
3 *καταλαβέσθαι τὸν τόπον. διόπερ ἐν τοῖς Μεγάροις καθελκύσας τὰς νενεωλκημένας τετταράκοντα τριήρεις νυκτὸς ἔπλευσεν εἰς τὴν Σαλαμῖνα· προσπεσὼν δ' ἀπροσδοκήτως εἰς τὸ φρούριον τῆς Σαλαμῖνος τὸ καλούμενον Βουδόριον, τρεῖς ναῦς ἀπέσπασε καὶ τὴν ὅλην Σαλαμῖνα κατέδραμε.*
4 *τῶν δὲ Σαλαμινίων πυρσευσάντων τοῖς κατὰ τὴν Ἀττικήν, οἱ μὲν Ἀθηναῖοι δόξαντες τὸν Πειραιᾶ κατειλῆφθαι ταχέως ἐξεβοήθουν μετὰ πολλῆς ταραχῆς· γνόντες δὲ τὸ γεγονός, ταχέως πληρώσαντες ναῦς ἱκανὰς ἔπλεον εἰς τὴν Σαλαμῖνα.*
5 *οἱ δὲ Πελοποννήσιοι τῆς ἐπιβολῆς διαψευσθέντες ἀπέπλευσαν ἐκ τῆς Σαλαμῖνος εἰς τὴν οἰκείαν. οἱ δ' Ἀθηναῖοι, τῶν πολεμίων ἀποπεπλευκότων, τῆς μὲν Σαλαμῖνος ἐπιμελεστέραν φυλακὴν ἐποιήσαντο καὶ κατέλιπον φρουροὺς τοὺς ἱκανούς, τὸν δὲ Πειραιᾶ κλείθροις καὶ φυλακαῖς ἱκαναῖς διαλαβόντες ὠχύρωσαν.*

50. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους Σιτάλκης ὁ τῶν Θρᾳκῶν βασιλεὺς παρειλήφει μὲν βασιλείαν ὀλίγην χώραν, διὰ δὲ τὴν ἰδίαν ἀνδρείαν καὶ σύνεσιν ἐπὶ πολὺ τὴν δυναστείαν ηὔξησεν, ἐπιεικῶς μὲν ἄρχων τῶν ὑποτεταγμένων, ἀνδρεῖος δ' ὢν ἐν ταῖς μάχαις καὶ στρατηγικός, ἔτι δὲ τῶν προσόδων μεγάλην ποιούμενος ἐπιμέλειαν. τὸ δὲ τέλος ἐπὶ τοσοῦτον δυνάμεως προῆλθεν, ὥστε χώρας ἄρξαι πλείστης τῶν πρὸ αὐτοῦ βασι-
2 *λευσάντων κατὰ τὴν Θρᾴκην. ἡ μὲν γὰρ παραθαλάττιος αὐτῆς*

τόν καιρό ὁ Κνῆμος, ὁ ναύαρχος τῶν Λακεδαιμονίων, πού ἔμενε στήν Κόρινθο, ἀποφάσισε νά καταλάβη τόν Πειραιᾶ. Γιατί εἶχε πληροφορίες, ὅτι δέν ὑπῆρχαν οὔτε πλοῖα μέσα στό λιμάνι οὔτε στρατιῶτες ταγμένοι γιά τή φρούρηση τοῦ λιμανιοῦ. Γιατί οἱ Ἀθηναῖοι ἀμελοῦσαν τή φρούρηση τοῦ λιμανιοῦ, καθώς πίστευαν ὅτι κανείς δέν θά τολμήση νά καταλάβη τό μέρος αὐτό. 3. Γι' αὐτό ὁ Κνῆμος ἔρριξε στή θάλασσα τίς σαράντα νεωλκημένες τριήρεις στά Μέγαρα καί διά νυκτός ἔπλευσε στή Σαλαμῖνα. Ἐφόρμησε ἀπροσδόκητα στό φρούριο τῆς Σαλαμίνας, τό λεγόμενο Βουδόριο, ἀπέσπασε τρία πλοῖα κι ἐπέδραμε σ' ὅλο τό νησί. 4. Ὅταν οἱ Σαλαμίνιοι ἔδωσαν μέ τους πυρσούς σῆμα ἀπέναντι στήν Ἀττική, οἱ Ἀθηναῖοι, νομίζοντας ὅτι εἶχε καταληφθῆ ὁ Πειραιᾶς, θορυβημένοι ἔσπευσαν ἀμέσως πρός βοήθεια. Ἀλλά ὅταν εἶδαν τί ἀκριβῶς εἶχε συμβῆ, ἐπάνδρωσαν γρήγορα ἀρκετά πλοῖα καί ἔπλευσαν στή Σαλαμῖνα. 5. Οἱ Πελοποννήσιοι, ἀφοῦ ἀπέτυχαν στό σχέδιό τους, ἀπέπλευσαν ἀπό τή Σαλαμῖνα καί τράβηξαν στήν πατρίδα τους. Κι οἱ Ἀθηναῖοι, ὅταν ἀποσύρθηκαν οἱ ἐχθροί, ἐνίσχυσαν τή φρουρά τῆς Σαλαμίνας καί ὀχύρωσαν τόν Πειραιᾶ μέ «κλεῖθρα»[41] καί ἀξιόλογη φρουρά.

50.

Τήν ἴδια περίοδο ὁ Σιτάλκης, ὁ βασιλιάς τῶν Θρακῶν, ἀνέλαβε τήν ἐξουσία ἑνός βασιλείου μέ μικρή ἔκταση, ἀλλά χάρη στήν προσωπική του ἀνδρεία καί τή σύνεση αὔξησε σημαντικά τή δύναμή του, κυβερνώντας δίκαια τούς ὑπηκόους του, ἐπιβεβαιώνοντας στίς μάχες τή παλληκαριά του καί τή στρατηγική του ἱκανότητα καί διαχειριζόμενος τά οἰκονομικά μέ νοικοκυροσύνη. Καί στό τέλος ἔφθασε τή δύναμή του σέ τέτοιο σημεῖο, ὥστε ἡ ἔκταση τοῦ βασιλείου του ἦταν ἡ μεγαλύτερη πού εἶχε ποτέ ἐπί τῶν προηγουμένων βασιλέων τῆς Θράκης. 2. Γιατί ἡ παραλιακή ἔκταση ἀρχίζοντας ἀπό τό ἔδα-

41. Λιμενοφράκτες, πού ἔκλειναν τήν εἴσοδο τοῦ λιμανιοῦ.

ἀπὸ τῆς Ἀβδηριτῶν χώρας τὴν ἀρχὴν ἔχουσα διέτεινε μέχρι τοῦ Ἴστρου ποταμοῦ, ἀπὸ δὲ θαλάττης εἰς τὸ μεσόγειον πορευομένῳ τοσοῦτον εἶχε διάστημα, ὥστε πεζὸν εὔζωνον ὁδοιπορῆσαι ἡμέρας δέκα τρεῖς. τηλικαύτης δὲ χώρας βασιλεύων ἐλάμβανε προσόδους καθ᾽ ἕκαστον ἐνιαυτὸν πλείω
3 *χιλίων ταλάντων. κατὰ δὲ τοὺς ὑποκειμένους καιροὺς ἔχων πόλεμον ἤθροισεν ἐκ τῆς Θρᾴκης στρατιώτας πεζοὺς μὲν πλείους τῶν δώδεκα μυριάδων, ἱππεῖς δὲ πεντακισμυρίους. ἀναγκαῖον δ᾽ ἐστὶ τοῦ πολέμου τούτου προεκθέσθαι τὰς αἰτίας, ἵνα σαφὴς ὁ περὶ αὐτοῦ λόγος ὑπάρξῃ τοῖς ἀναγινώσκουσι.*

Σιτάλκης τοίνυν πρὸς Ἀθηναίους φιλίαν συνθέμενος ὡμολόγησεν αὐτοῖς συμμαχήσειν τὸν ἐπὶ Θρᾴκης πόλεμον· διόπερ βουλόμενος τοὺς Χαλκιδεῖς σὺν τοῖς Ἀθηναίοις καταπο-
4 *λεμῆσαι, παρεσκευάζετο δύναμιν ἀξιόλογον. ἅμα δὲ καὶ πρὸς Περδίκκαν τὸν βασιλέα τῶν Μακεδόνων ἀλλοτρίως διακείμενος, ἔκρινε κατάγειν ἐπὶ τὴν Μακεδονικὴν βασιλείαν Ἀμύνταν τὸν Φιλίππου. δι᾽ ἀμφοτέρας οὖν τὰς προειρημένας αἰτίας ἦν ἀναγκαῖον αὐτῷ συστήσασθαι δύναμιν ἀξιόλογον. ὡς δ᾽ αὐτῷ τὰ πρὸς τὴν στρατείαν εὐτρεπῆ κατεσκεύαστο, προήγαγε τὴν δύναμιν ἅπασαν, καὶ διελθὼν τὴν Θρᾴκην ἐνέβα-*
5 *λεν εἰς τὴν Μακεδονίαν. οἱ δὲ Μακεδόνες τὸ μέγεθος τῆς δυνάμεως καταπλαγέντες παρατάξασθαι μὲν οὐκ ἐτόλμησαν, ἐκκομίσαντες δὲ τόν τε σῖτον καὶ τῶν χρημάτων ὅσα δυνατὸν ἦν εἰς τὰ καρτερώτατα φρούρια, μένοντες ἐν τούτοις ἡσυχίαν*
6 *εἶχον. οἱ δὲ Θρᾷκες καταγαγόντες τὸν Ἀμύνταν ἐπὶ τὴν βασιλείαν τὸ μὲν πρῶτον διὰ λόγων καὶ πρεσβειῶν ἐπειρῶντο προσάγεσθαι τὰς πόλεις, ὡς δ᾽ οὐδεὶς αὐτοῖς προσεῖχεν, εὐθὺς*

φος τῶν Ἀβδηριτῶν ἔφθανε ὥς τόν Ἴστρο[42] ποταμό καί τό βάθος της ἀπό τή θάλασσα πρός τό ἐσωτερικό ἔφθανε σέ τόση ἀπόσταση, πού γιά νά τή διατρέξη πεζός ἕνας ἄνθρωπος χωρίς κανένα φορτίο ἤθελε δεκατρεῖς μέρες. Καθώς λοιπόν βασίλευε σέ μιά τόσο ἐκτεταμένη χώρα, εἶχε ἐτήσια ἔσοδα πάνω ἀπό χίλια τάλαντα. 3. Αὐτόν λοιπόν τόν καιρό βρισκόταν σέ ἐμπόλεμη κατάσταση καί συγκέντρωσε ἀπό τή Θράκη πάνω ἀπό ἑκατόν εἴκοσι χιλιάδες πεζούς καί πενήντα χιλιάδες ἱππεῖς. Κρίνουμε ὅμως ἀναγκαῖο νά ἐκθέσουμε ἀπό τήν ἀρχή τίς αἰτίες αὐτοῦ τοῦ πολέμου, γιά νά γίνη σαφής στούς ἀναγνῶστες ἡ ἐξιστόρησή του.

Ὁ Σιτάλκης λοιπόν πού εἶχε συνάψει συνθήκη φιλίας μέ τούς Ἀθηναίους, συμφώνησε νά τούς ὑποστηρίξη στό πολεμικό μέτωπο τῆς Θράκης. Γι᾽ αὐτό, θέλοντας νά ὑποτάξη τούς Χαλκιδεῖς μέ τή βοήθεια τῶν Ἀθηναίων, ἑτοίμαζε ἀξιόλογη δύναμη. 4. Τόν ἴδιο καιρό, καθώς εἶχε ἐχθρικές σχέσεις μέ τόν Περδίκκα, τόν βασιλιά τῶν Μακεδόνων, ἀποφάσισε νά φέρη πίσω τόν Ἀμύντα, τό γυιό τοῦ Φιλίππου, καί νά τόν ἐγκαταστήση στό θρόνο[43]. Γι᾽ αὐτούς τούς δυό λόγους λοιπόν ἀναγκάσθηκε νά συγκροτήση μιά ἀξιόλογη στρατιωτική δύναμη. Κι ἀφοῦ ἑτοίμασε τά πάντα γιά τήν ἐκστρατεία, ὁδήγησε ὅλο τό στρατό του μέσα ἀπό τή Θράκη καί εἰσέβαλε στή Μακεδονία.

5. Οἱ Μακεδόνες, τρομαγμένοι ἀπό τό μέγεθος τοῦ στρατοῦ του, δέν ἐτόλμησαν νά τόν ἀντιμετωπίσουν σέ μάχη, ἀλλά μετέφεραν τό σιτάρι καί ὅσα μποροῦσαν ἀπό τά ὑπάρχοντά τους στά πιό ἰσχυρά φρούρια, μέσα στά ὁποῖα ἔμεναν ἀδρανεῖς. 6. Οἱ Θρᾶκες, ἀφοῦ ἐγκατέστησαν στή βασιλεία τόν Ἀμύντα, στήν ἀρχή προσπαθοῦσαν μέ λόγους καί μέ πρεσβεῖες νά κερδίσουν μέ τό μέρος τους τίς πόλεις, ἀλλά ὅταν εἶδαν ὅτι κανείς δέν τούς ἔδινε σημασία, ἀμέσως ἐπιτέθηκαν

42. Ἀρχαῖο ὄνομα τοῦ Δουνάβεως.

43. Ὁ Θουκυδίδης λέει ὅτι ὁ Περδίκκας ἔδιωξε τόν ἀδελφό του Φίλιππο κι ἐκεῖνος κατέφυγε στόν Σιτάλκη.

7 *τῷ πρώτῳ φρουρίῳ προσβαλόντες κατὰ κράτος εἷλον. μετὰ
δὲ ταῦτά τινες τῶν πόλεων καὶ τῶν φρουρίων διὰ τὸν φόβον
ἑκουσίως ὑπετάγησαν. πορθήσαντες δὲ πᾶσαν τὴν Μακε-
δονίαν καὶ πολλῆς ὠφελείας κύριοι γενόμενοι μετέβησαν ἐπὶ
τὰς Ἑλληνίδας πόλεις τὰς τῶν Χαλκιδέων.*

*51. Τοῦ δὲ Σιτάλκου περὶ ταῦτα διατρίβοντος Θετταλοὶ
καὶ Ἀχαιοὶ καὶ Μάγνητες καὶ οἱ ἄλλοι πάντες Ἕλληνες ὅσοι
κατῴκουν μεταξὺ Μακεδονίας καὶ Θερμοπυλῶν, συνεφρό-
νησαν καὶ δύναμιν ἀξιόλογον κοινῇ συνεστήσαντο· εὐλα-
βοῦντο γὰρ μήποτε τοσαύταις μυριάσιν οἱ Θρᾷκες ἐμβά-
λωσιν αὐτῶν εἰς τὴν χώραν, καὶ κινδυνεύσωσι ταῖς πατρίσι.*
2 *τὸ δ' αὐτὸ καὶ τῶν Χαλκιδέων ποιησάντων, Σιτάλκης πυ-
θόμενος τοὺς Ἕλληνας ἁδρὰς δυνάμεις συνηθροικέναι καὶ
τοὺς στρατιώτας ὑπὸ τοῦ χειμῶνος ἐνοχλουμένους ἐννοού-
μενος, πρὸς μὲν τὸν Περδίκκαν διαλυσάμενος ἐπιγαμίας
ἐποιήσατο, τὰς δὲ δυνάμεις ἀπήγαγεν εἰς τὴν Θρᾴκην.*

*52. Ἅμα δὲ τούτοις πραττομένοις Λακεδαιμόνιοι μὲν πα-
ραλαβόντες τοὺς ἐκ Πελοποννήσου συμμάχους εἰσέβαλον
εἰς τὴν Ἀττικήν, ἔχοντος τὴν ἡγεμονίαν Ἀρχιδάμου τοῦ βα-
σιλέως, τὸν δὲ σῖτον ἐν τῇ χλόῃ διέφθειραν, καὶ τὴν χώραν*
2 *δῃώσαντες ἐπανῆλθον εἰς τὰς πατρίδας. οἱ δ' Ἀθηναῖοι πα-
ρατάξασθαι μὲν οὐ τολμῶντες, ὑπὸ δὲ τῆς νόσου καὶ τῆς σι-
τοδείας πιεζόμενοι, κακὰς περὶ τοῦ μέλλοντος ἐλάμβανον
ἐλπίδας.*

Ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

ἐναντίον τοῦ πρώτου φρουρίου καί τό κατέλαβαν ἐξ ἐφόδου. 7. Ὕστερ' ἀπ' αὐτό, μερικές ἀπό τίς πόλεις καί τά φρούρια παραδόθηκαν ἀπό τό φόβο τους. Κι ἀφοῦ λεηλάτησαν ὅλη τή Μακεδονία καί πῆραν πλούσια λεία οἱ Θρᾶκες στράφηκαν ἐναντίον τῶν ἑλληνικῶν πόλεων στή Χαλκιδική.

51.

Ἐνῶ ὁ Σιτάλκης ἦταν ἀπασχολημένος σ' αὐτές τίς ἐπιχειρήσεις οἱ Θεσσαλοί, οἱ Ἀχαιοί καί οἱ Μάγνητες καί ὅλοι οἱ ἄλλοι Ἕλληνες πού κατοικοῦσαν μεταξύ τῆς Μακεδονίας καί τῶν Θερμοπυλῶν συσκέφθηκαν καί συμφώνησαν νά συγκροτήσουν ἀπό κοινοῦ μιά ἀξιόλογη στρατιωτική δύναμη. Γιατί εἶχαν τό φόβο μήπως εἰσβάλουν στά ἐδάφη τους οἱ Θρᾶκες μέ τόσες μυριάδες καί κινδυνεύσουν νά χάσουν τίς πατρίδες τους. 2. Τίς ἴδιες προετοιμασίες ἔκαναν κι οἱ Χαλκιδεῖς, γι' αὐτό ὁ Σιτάλκης μαθαίνοντας ὅτι οἱ Ἕλληνες εἶχαν συγκεντρώσει μεγάλες δυνάμεις καί βλέποντας ὅτι οἱ στρατιῶτες του ὑπέφεραν ἀπό τόν χειμώνα, συνθηλόγησε μέ τόν Περδίκκα, συμπεθέρεψε[44] μαζί του κι ἀπέσυρε πάλι τίς δυνάμεις του στή Θράκη.

52.

Ἐνῶ συνέβαιναν αὐτά τά γεγονότα, οἱ Λακεδαιμόνιοι παρέλαβαν τούς Πελοποννησίους συμμάχους τους καί εἰσέβαλαν στήν Ἀττική μέ ἀρχηγό τόν Ἀρχίδαμο τόν βασιλιά καί κατέστρεψαν τό σιτάρι, πού ἦταν ἀκόμα χλόη, κι ἀφοῦ λεηλάτησαν τή χώρα, ἐπέστρεψαν πάλι στίς πατρίδες τους. 2. Οἱ Ἀθηναῖοι πού δέν τολμοῦσαν ν' ἀντιμετωπίσουν τούς εἰσβολεῖς σέ μάχη ἐκ παρατάξεως καί ταυτόχρονα ὑπέφεραν ἀπό τή λοιμική καί τή σιτοδεία ἔβλεπαν τό μέλλον δυσοίωνο.

Αὐτά ὑπῆρξαν τά γεγονότα τῆς χρονιᾶς.

44. Ὁ Σεύθης, ἀνεψιός τοῦ Σιτάλκη καί διάδοχος τοῦ θρόνου, νυμφεύθηκε τή Στρατονίκη, ἀδελφή τοῦ Περδίκκα.

*53. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Εὐκλείδου Ῥωμαῖοι κατέ-
στησαν ἀντὶ τῶν ὑπάτων χιλιάρχους τρεῖς, Μάρκον Μάνιον,
Κόιντον Σουλπίκιον Πραιτέξτατον, Σερούιον Κορνήλιον
Κόσσον. ἐπὶ δὲ τούτων κατὰ τὴν Σικελίαν Λεοντῖνοι, Χαλ-
κιδέων μὲν ὄντες ἄποικοι, συγγενεῖς δὲ Ἀθηναίων, ἔτυχον
ὑπὸ Συρακοσίων πολεμούμενοι. πιεζόμενοι δὲ τῷ πολέμῳ,
καὶ διὰ τὴν ὑπεροχὴν τῶν Συρακοσίων κινδυνεύοντες
ἁλῶναι κατὰ κράτος, ἐξέπεμψαν πρέσβεις εἰς τὰς Ἀθήνας,
ἀξιοῦντες τὸν δῆμον βοηθῆσαι τὴν ταχίστην καὶ τὴν πόλιν*
2 *ἑαυτῶν ἐκ τῶν κινδύνων ῥύσασθαι. ἦν δὲ τῶν ἀπεσταλμέ-
νων ἀρχιπρεσβευτὴς Γοργίας ὁ ῥήτωρ, δεινότητι λόγου
πολὺ προέχων πάντων τῶν καθ' ἑαυτόν. οὗτος καὶ τέχνας
ῥητορικὰς πρῶτος ἐξεῦρε καὶ κατὰ τὴν σοφιστείαν τοσοῦτο
τοὺς ἄλλους ὑπερέβαλεν, ὥστε μισθὸν λαμβάνειν παρὰ τῶν*
3 *μαθητῶν μνᾶς ἑκατόν. οὗτος οὖν καταντήσας εἰς τὰς Ἀθή-
νας καὶ παραχθεὶς εἰς τὸν δῆμον διελέχθη τοῖς Ἀθηναίοις
περὶ τῆς συμμαχίας, καὶ τῷ ξενίζοντι τῆς λέξεως ἐξέπληξε*
4 *τοὺς Ἀθηναίους ὄντας εὐφυεῖς καὶ φιλολόγους. πρῶτος
γὰρ ἐχρήσατο τοῖς τῆς λέξεως σχηματισμοῖς περιττοτέροις
καὶ τῇ φιλοτεχνίᾳ διαφέρουσιν, ἀντιθέτοις καὶ ἰσοκώλοις καὶ
παρίσοις καὶ ὁμοιοτελεύτοις καί τισιν ἑτέροις τοιούτοις, ἃ
τότε μὲν διὰ τὸ ξένον τῆς κατασκευῆς ἀποδοχῆς ἠξιοῦτο,
νῦν δὲ περιεργίαν ἔχειν δοκεῖ καὶ φαίνεται καταγέλαστα*
5 *πλεονάκις καὶ κατακόρως τιθέμενα. τέλος δὲ πείσας τοὺς
Ἀθηναίους συμμαχῆσαι τοῖς Λεοντίνοις, οὗτος μὲν θαυμα-
σθεὶς ἐν ταῖς Ἀθήναις ἐπὶ τέχνῃ ῥητορικῇ τὴν εἰς Λεοντίνους
ἐπάνοδον ἐποιήσατο.*

54. Ἀθηναῖοι δὲ καὶ πάλαι μὲν ἦσαν ἐπιθυμηταὶ τῆς Σικελίας διὰ τὴν ἀρετὴν τῆς χώρας, καὶ τότε δ' ἀσμένως προσδεξάμενοι τοὺς τοῦ Γοργίου λόγους ἐψηφίσαντο συμμαχίαν

53.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Εὐκλείδης, οἱ Ρωμαῖοι ἀνέδειξαν ἀντί τῶν ὑπάτων τρεῖς χιλιάρχους, τόν Μάρκο Μάνιο, τόν Κόιντο Σουλπίκιο Πραιτέξτατο καί τόν Σέρβιο Κορνήλιο Κόσσο. Αὐτήν τή χρονιά στή Σικελία οἱ Λεοντῖνοι, πού ἦταν ἄποικοι τῶν Χαλκιδέων καί συγγενεῖς τῶν Ἀθηναῖων, συνέβη νά δεχθοῦν τήν ἐπίθεση τῶν Συρακοσίων. Καί καθώς βρίσκονταν σέ δύσκολη θέση καί κινδύνευσε νά κυριευθῆ ἡ πόλη τους ἐξ ἐφόδου, γιατί οἱ Συρακόσιοι διέθεταν ἀνώτερη δύναμη, ἔστειλαν πρέσβεις στήν Ἀθήνα καί ζητοῦσαν ἀπό τό λαό τῶν Ἀθηναίων νά τούς βοηθήση τό ταχύτερο καί νά σώση τήν πόλη τους ἀπό τόν κίνδυνο. 2. Ἐπικεφαλῆς τῆς πρεσβείας ἦταν ὁ Γοργίας ὁ ρήτωρ, ὁ μεγαλύτερος ρήτωρ τῆς ἐποχῆς του. Αὐτός ἦταν ὁ πρῶτος πού θεμελίωσε τή ρητορική τέχνη καί τόσο πολύ ὑπερεῖχε ὅλων τῶν ἄλλων στήν παιδεία πού προσέφεραν οἱ σοφιστές, ὥστε ἔπαιρνε ἀπό τούς μαθητές του ὡς μισθό ἑκατό μνᾶς. 3. Ὅταν λοιπόν ὁ Γοργίας ἦρθε στήν Ἀθήνα καί παρουσιάστηκε στή συνέλευση τοῦ λαοῦ, συζήτησε μέ τούς Ἀθηναίους τό θέμα τῆς συμμαχίας καί μέ τήν πρωτότυπη κομψότητα τοῦ λόγου ἐξέπληξε τούς Ἀθηναίους, πού εἶναι εὐφυεῖς καί διαλεκτικοί. Γιατί ἦταν ὁ πρῶτος πού χρησιμοποίησε τά περισσότερα σχήματα λόγου, ἔξοχα στήν κομψότητά τους, ἀντίθετα, ἰσόκωλα, πάρισα καί ὁμοιοτέλευτα καί ἄλλα παρόμοια, τά ὁποῖα μέ τήν πρωτότυπη σύνθεσή τους γίνονταν τότε δεκτά μέ ἐνθουσιασμό, τώρα ὅμως φαίνονται ὡς ἐπιτηδευμένα καί πολλές φορές γελοῖα, ὅταν γίνεται κατάχρησή τους. Τέλος, ἔπεισε τούς Ἀθηναίους νά συμμαχήσουν μέ τούς Λεοντίνους κι ἀφοῦ θαυμάστηκε στήν Ἀθήνα γιά τή ρητορική του τέχνη ἐπέστρεψε στούς Λεοντίνους.

54.

Οἱ Ἀθηναῖοι κι ἀπό παλιά ἐπωφθαλμιοῦσαν τή Σικελία γιά τή γονιμότητα τοῦ ἐδάφους της, καί τώρα ἀποδέχθηκαν μέ χαρά τίς προτάσεις τοῦ Γοργία κι ἀπεφάσισαν νά στείλουν μιά συμ-

ἐκπέμπειν τοῖς Λεοντίνοις, πρόφασιν μὲν φέροντες τὴν τῶν συγγενῶν χρείαν καὶ δέησιν, τῇ δ' ἀληθείᾳ τὴν νῆσον σπεύ-
2 *δοντες κατακτήσασθαι. καὶ γὰρ οὐ πολλοῖς ἔτεσι πρότερον τῶν τε Κορινθίων καὶ τῶν Κερκυραίων διαπολεμούντων μὲν πρὸς ἀλλήλους, φιλοτιμηθέντων δ' ἀμφοτέρων συμμάχους λαβεῖν τοὺς Ἀθηναίους, προέκρινεν ὁ δῆμος συμμαχεῖν τοῖς Κερκυραίοις διὰ τὸ τὴν Κέρκυραν εὐφυῶς κεῖσθαι*
3 *πρὸς τὸν εἰς Σικελίαν πλοῦν. καθόλου γὰρ οἱ Ἀθηναῖοι κατακτησάμενοι τὴν τῆς θαλάττης ἡγεμονίαν καὶ μεγάλας πράξεις ἐπιτελεσάμενοι συμμάχων τε πολλῶν εὐπόρουν καὶ δυνάμεις μεγίστας ἐκέκτηντο καὶ χρημάτων τε πλῆθος ἕτοιμον παρέλαβον, μετακομίσαντες ἐκ Δήλου τὰ κοινὰ χρήματα τῶν Ἑλλήνων, ὄντα πλείω τῶν μυρίων ταλάντων, ἡγεμόσι τε μεγάλοις καὶ διὰ στρατηγίαν δεδοκιμασμένοις ἐχρήσαντο, καὶ διὰ τούτων ἁπάντων ἤλπιζον καταπολεμήσειν μὲν τοὺς Λακεδαιμονίους, πάσης δὲ τῆς Ἑλλάδος τὴν ἡγεμονίαν περιπεποιημένοι ἀνθέξεσθαι τῆς Σικελίας.*

4 *Διὰ ταύτας οὖν τὰς αἰτίας ψηφισάμενοι βοηθεῖν τοῖς Λεοντίνοις ἐξέπεμψαν εἰς τὴν Σικελίαν ναῦς εἴκοσι καὶ στρατηγοὺς Λάχητα καὶ Χαροιάδην. οὗτοι δὲ πλεύσαντες εἰς τὸ Ῥήγιον προσελάβοντο ναῦς εἴκοσι παρὰ τῶν Ῥηγίνων καὶ τῶν Χαλκιδέων ἀποίκων. ἐντεῦθεν δ' ὁρμώμενοι τὸ μὲν πρῶτον τὰς Λιπαραίων νήσους κατέδραμον διὰ τὸ συμμαχεῖν τοὺς Λιπαραίους τοῖς Συρακοσίοις, μετὰ δὲ ταῦτα ἐπὶ Λοκροὺς πλεύσαντες καὶ πέντε νεῶν Λοκρίδων κυριεύσαν-*
5 *τες, Μύλας φρούριον ἐπολιόρκησαν. ἐπιβοηθησάντων δὲ τῶν πλησιοχώρων Σικελιωτῶν τοῖς Μυλαίοις ἐγένετο μάχη,*

μαχική βοήθεια στούς Λεοντίνους μέ πρόσχημα τή δύσκολη θέση καί τήν αἴτηση βοηθείας τῶν συγγενῶν τους, στήν πραγματικότητα ὅμως μέ τόν πόθο νά κατακτήσουν τή νῆσο. 2. Καί πράγματι, ὄχι πολλά χρόνια πρίν, ὅταν οἱ Κορίνθιοι καί οἱ Κερκυραῖοι πολεμοῦσαν μεταξύ τους κι ἐπεδίωκαν ἀποφασιστικά καί οἱ δυό νά λάβουν συμμάχους τούς Ἀθηναίους, ὁ λαός τῶν Ἀθηναίων προέκρινε τή συμμαχία μέ τούς Κερκυραίους, γιατί ἡ Κέρκυρα κατεῖχε μιά θέση νευραλγική στό δρόμο πρός τή Σικελία. 3. Καί γενικά, οἱ Ἀθηναῖοι, πού κατέκτησαν τήν ἡγεμονία στή θάλασσα καί ἐπετέλεσαν μεγάλα κατορθώματα, εἶχαν πολλούς συμμάχους καί διέθεταν μεγάλη στρατιωτική δύναμη, ἀλλά παρέλαβαν καί μεγάλες ποσότητες ἕτοιμων χρημάτων, γιατί εἶχαν μεταφέρει ἀπό τή Δῆλο στήν Ἀθήνα τά οἰκονομικά τῆς συμμαχίας, πού ἦταν πάνω ἀπό δέκα χιλιάδες τάλαντα. Εἶχαν ἐπίσης σημαντικούς ἡγέτες δοκιμασμένους γιά τή στρατηγική τους ἱκανότητα. Καί μέ ὅλα αὐτά τά προσόντα τους ἤλπιζαν νά κατανικήσουν τούς Λακεδαιμονίους κι ἀφοῦ καταλάβουν τήν ἡγεμονία ὅλης τῆς Ἑλλάδος νά βάλουν χέρι στή Σικελία.

4. Γι' αὐτούς λοιπόν τούς λόγους ἀποφάσισαν νά βοηθήσουν τούς Λεοντίνους κι ἔστειλαν στή Σικελία εἴκοσι πλοῖα μέ στρατηγούς τόν Λάχητα καί τόν Χαροιάδη. Αὐτοί ἔπλευσαν στό Ρήγιο καί πῆραν ἐπί πλέον εἴκοσι πλοῖα ἀπό τούς Ρηγίνους καί τούς ἄλλους Χαλκιδαίους ἀποίκους. Μέ ὁρμητήριο τό Ρήγιο στήν ἀρχή ἐπέδραμαν ἐναντίον τῶν νησιῶν τῶν Λιπαραίων[45], ἐπειδή οἱ Λιπαραῖοι ἦταν σύμμαχοι τῶν Συρακοσίων, καί ὕστερα ἀπ' αὐτό ἔπλευσαν ἐναντίον τῶν Λοκρῶν[46] καί, ἀφοῦ κυρίευσαν πέντε πλοῖα τους, ἐπολιόρκησαν τό φρούριο τῶν Μυλῶν. 5. Ὅταν οἱ πλησιόχωροι Σικελιῶτες ἔσπευσαν πρός βοήθεια τῶν Μυλαίων, συνήφθη μάχη, κατά τήν ὁποίαν

45. Ἕνα συγκρότημα ἀπό μικρά ἡφαιστειώδη νησιά δυτικά τοῦ κάτω ἄκρου τῆς Ἰταλίας.

46. Οἱ Λοκροί τῆς ἀνατολικῆς ἀκτῆς τῆς Κάτω Ἰταλίας ὀνομάζονται Ἐπιζεφύριοι Λοκροί.

*καθ' ἣν Ἀθηναῖοι νικήσαντες ἀπέκτειναν μὲν πλείους τῶν χι-
λίων, ἐζώγρησαν δὲ οὐκ ἐλάττους τῶν ἑξακοσίων· εὐθὺς δὲ
καὶ τὸ φρούριον ἐκπολιορκήσαντες κατέσχον.*
6 *Τούτων δὲ πραττομένων κατέπλευσαν νῆες τετταρά-
κοντα, ἃς ἀπέστειλεν ὁ δῆμος, κρίνων γενναιότερον ἅπτε-
σθαι τοῦ πολέμου· ἡγεῖτο δ' αὐτῶν Εὐρυμέδων καὶ Σο-
φοκλῆς. ἀθροισθεισῶν δὲ τῶν τριήρων εἰς ἕνα τόπον ἀξιό-
λογος ἤδη στόλος κατεσκεύαστο, συγκείμενος ἐκ τριήρων*
7 *ὀγδοήκοντα. τοῦ δὲ πολέμου χρονίζοντος οἱ Λεοντῖνοι δια-
πρεσβευσάμενοι πρὸς τοὺς Συρακοσίους διελύθησαν. διό-
περ αἱ μὲν τῶν Ἀθηναίων τριήρεις ἀπέπλευσαν εἰς τὴν
οἰκείαν, οἱ δὲ Συρακόσιοι τοῖς Λεοντίνοις μεταδόντες τῆς
πολιτείας ἅπαντας Συρακοσίους ἐποίησαν, καὶ τὴν πόλιν
φρούριον ἀπέδειξαν τῶν Συρακοσίων.*

Καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

*55. Κατὰ δὲ τὴν Ἑλλάδα Λέσβιοι μὲν ἀπέστησαν ἀπὸ τῶν
Ἀθηναίων· ἐνεκάλουν γὰρ αὐτοῖς, ὅτι βουλομένων συνοικί-
ζειν πάσας τὰς κατὰ τὴν Λέσβον πόλεις εἰς τὴν Μυτιληναίων*
2 *πόλιν διεκώλυσαν. διὸ καὶ πρὸς Λακεδαιμονίους ἀποστεί-
λαντες πρεσβευτὰς καὶ συμμαχίαν συνθέμενοι συνεβούλευον
τοῖς Σπαρτιάταις ἀντέχεσθαι τῆς κατὰ θάλατταν ἡγεμονίας·
πρὸς ταύτην δὲ τὴν ἐπιβολὴν ἐπηγγείλαντο πολλὰς τριήρεις*
3 *εἰς τὸν πόλεμον παρέξεσθαι. ἀσμένως δὲ τῶν Λακεδαιμονίων
ὑπακουσάντων καὶ περὶ τὴν κατασκευὴν τῶν τριήρων γινο-
μένων, Ἀθηναῖοι φθάσαντες αὐτῶν τὴν παρασκευὴν πα-
ραχρῆμα δύναμιν ἐξέπεμψαν εἰς τὴν Λέσβον, πληρώσαντες
ναῦς τετταράκοντα καὶ στρατηγὸν προχειρισάμενοι Κλει-
νιππίδην. οὗτος δὲ προσλαβόμενος βοήθειαν παρὰ τῶν συμ-*
4 *μάχων κατέπλευσεν εἰς Μυτιλήνην. γενομένης δὲ ναυμαχίας
οἱ μὲν Μυτιληναῖοι λειφθέντες συνεκλείσθησαν εἰς πολιορ-*

οἱ Ἀθηναῖοι νίκησαν καί σκότωσαν πάνω ἀπό χίλιους κι αἰχμαλώτους ὄχι λιγότερους ἀπό ἑξακόσιους. Κι ἀμέσως κατέλαβαν μέ πολιορκία τό φρούριο καί τό κράτησαν. 6. Ἐνῶ συνέβαιναν ὅλα αὐτά, κατέπλευσαν σαράντα πλοῖα, πού ἀπέστειλαν οἱ Ἀθηναῖοι μέ τήν ἀπόφαση νά ἀναμιχθοῦν μέ μεγαλύτερη τόλμη στόν πόλεμο. Ἀρχηγοί τους ἦταν ὁ Εὐρυμέδων καί ὁ Σοφοκλῆς. Ὅταν ὅλες οἱ τριήρεις συγκεντρώθηκαν στό ἴδιο μέρος, συγκροτήθηκε ἕνας ἀξιόλογος στόλος ἀποτελούμενος ἀπό ὀγδόντα τριήρεις. 7. Κι ὅπως ὁ πόλεμος τραβοῦσε σέ μάκρος, οἱ Λεοντῖνοι ἔστειλαν πρέσβεις πρός τούς Συρακοσίους καί συνθηκολόγησαν. Γι' αὐτό οἱ τριήρεις τῶν Ἀθηναίων ἀπέπλευσαν στήν πατρίδα κι οἱ Συρακόσιοι ἔδωσαν πολιτικά δικαιώματα στούς Λεοντίνους καί τούς ἔκαναν ὅλους Συρακοσίους καί ἀνέδειξαν τήν πόλη τους ἰσχυρό φρούριο τῶν Συρακοσίων.

Ἔτσι εἶχαν τά πράγματα αὐτόν τόν καιρό στή Σικελία.

55.

Στήν Ἑλλάδα οἱ Λέσβιοι ἀποστάτησαν ἀπό τούς Ἀθηναίους. Γιατί τούς κατηγοροῦσαν, ὅτι, ὅταν ἤθελαν νά ὑπαγάγουν ὅλες τίς πόλεις τῆς Λέσβου στήν πόλη τῶν Μυτιληναίων, τούς ἐμπόδισαν. 2. Γι' αὐτό καί ἔστειλαν πρέσβεις στούς Λακεδαιμονίους καί κλείνοντας συμφωνία μαζί τους συμβούλευαν τούς Σπαρτιάτες νά ἐπιχειρήσουν νά καταλάβουν τήν κυριαρχία στήν θάλασσα. Καί σέ μιά τέτοια προσπάθεια ὑπόσχονταν νά τούς προσφέρουν πολλές τριήρεις γιά τόν πόλεμο. 3. Οἱ Λακεδαιμόνιοι δέχθηκαν μέ χαρά τήν προσφορά αὐτή, ἀλλά ἐνῶ ἦταν ἀπασχολημένοι μέ τήν κατασκευή τῶν τριήρων, οἱ Ἀθηναῖοι τούς πρόλαβαν κι ἔστειλαν ἀμέσως μιά δύναμη ἐναντίον τῆς Λέσβου, ἀφοῦ ἐπάνδρωσαν σαράντα πλοῖα καί ἐξέλεξαν στρατηγό τόν Κλεινιππίδη, ὁ ὁποῖος συγκεντρώνοντας ἐνισχύσεις ἀπό τούς συμμάχους κατέπλευσε στή Μυτιλήνη. 4. Ἐπακολούθησε ναυμαχία, κατά τήν ὁποία οἱ Μυτιληναῖοι ἡττήθηκαν καί κλείσθηκαν στήν πόλη

κίαν, τῶν δὲ Λακεδαιμονίων ψηφισαμένων βοηθεῖν τοῖς
Μυτιληναίοις καὶ παρασκευαζομένων στόλον ἀξιόλογον,
ἔφθασαν Ἀθηναῖοι ναῦς ἄλλας σὺν ὁπλίταις χιλίοις ἀπο-
5 *στείλαντες εἰς Λέσβον. τούτων δ' ἡγούμενος Πάχης ὁ Ἐπι-*
κλήρου καταντήσας εἰς τὴν Μυτιλήνην, καὶ τὴν προϋπάρ-
χουσαν δύναμιν παραλαβών, περιετείχισε τὴν πόλιν καὶ
συνεχεῖς προσβολὰς ἐποιεῖτο οὐ μόνον κατὰ γῆν, ἀλλὰ καὶ
κατὰ θάλατταν.

6 *Λακεδαιμόνιοι δὲ ἐξαπέστειλαν εἰς τὴν Μυτιλήνην τριή-*
ρεις μὲν τετταράκοντα πέντε καὶ στρατηγὸν Ἀλκίδαν, εἰς δὲ
τὴν Ἀττικὴν εἰσέβαλον μετὰ τῶν συμμάχων· ἐπελθόντες δὲ
τοὺς παραλελειμμένους τόπους τῆς Ἀττικῆς καὶ δῃώσαντες
7 *τὴν χώραν ἐπανῆλθον εἰς τὴν οἰκείαν. Μυτιληναῖοι δὲ τῇ σι-*
τοδείᾳ καὶ τῷ πολέμῳ πιεζόμενοι καὶ στασιάζοντες πρὸς
ἀλλήλους, καθ' ὁμολογίαν παρέδωκαν τὴν πόλιν τοῖς πο-
8 *λιορκοῦσιν. ἐν δὲ ταῖς Ἀθήναις τοῦ δήμου βουλευομένου*
πῶς χρὴ προσενέγκασθαι τοῖς Μυτιληναίοις, Κλέων ὁ δη-
μαγωγός, ὠμὸς ὢν τὸν τρόπον καὶ βίαιος, παρώξυνε τὸν
δῆμον, ἀποφαινόμενος δεῖν τοὺς Μυτιληναίους αὐτοὺς μὲν
ἡβηδὸν ἅπαντας ἀποκτεῖναι, τέκνα δὲ καὶ γυναῖκας ἐξαν-
9 *δραποδίσασθαι. τέλος δὲ πεισθέντων τῶν Ἀθηναίων κατὰ*
τὴν γνώμην τε τοῦ Κλέωνος ψηφισαμένων, ἀπεστάλησαν εἰς
τὴν Μυτιλήνην οἱ τὰ δοχθέντα τῷ δήμῳ δηλώσοντες τῷ
10 *στρατηγῷ. τοῦ δὲ Πάχητος ἀναγνόντος τὸ ψήφισμα ἧλθεν*
ἐναντίον τῷ προτέρῳ ἕτερον. ὁ δὲ Πάχης γνοὺς τὴν μετά-
νοιαν τῶν Ἀθηναίων ἐχάρη, καὶ τοὺς Μυτιληναίους συνα-
γαγὼν εἰς ἐκκλησίαν ἀπέλυσε τῶν ἐγκλημάτων, ἅμα δὲ καὶ
τῶν μεγίστων φόβων. Ἀθηναῖοι δὲ τῆς Μυτιλήνης τὰ τείχη
περιελόντες τὴν Λέσβον ὅλην πλὴν τῆς Μηθυμναίων χώρας
κατεκληρούχησαν.

Ἡ μὲν οὖν Λεσβίων ἀπόστασις ἀπ' Ἀθηναίων τοιοῦτον ἔσχε τὸ τέλος.

πολιορκούμενοι. Στό μεταξύ οἱ Λακεδαιμόνιοι ἀποφάσισαν νά στείλουν βοήθεια στούς Μυτιληναίους κι ἑτοίμασαν ἰσχυρό στόλο, ἀλλά τούς πρόφθασαν οἱ Ἀθηναῖοι κι ἔστειλαν στή Λέσβο κι ἄλλα πλοῖα μέ χίλιους ὁπλῖτες. 5. Ὁ ἀρχηγός τους ὁ Πάχης, ὁ γυιός τοῦ Ἐπικλήρου, ὅταν ἔφθασε στή Μυτιλήνη καί παρέλαβε τή δύναμη πού ὑπῆρχε ἐκεῖ, περιτείχισε τήν πόλη καί ἐνεργοῦσε συνεχεῖς ἐπιθέσεις ὄχι μόνο ἀπό τήν ξηρά, ἀλλά κι ἀπό τή θάλασσα.

6. Οἱ Λακεδαιμόνιοι ἔστειλαν στή Μυτιλήνη σαράντα πέντε τριήρεις μέ στρατηγό τόν Ἀλκίδα καί εἰσέβαλαν στήν Ἀττική μαζί μέ τους συμμάχους τους. Ἐκεῖ ἐπέδραμαν στά μέρη ἐκεῖνα τῆς Ἀττικῆς, πού τά εἶχαν παραλείψει κατά τήν προηγουμένη ἐπιδρομή, καί, ἀφοῦ λεηλάτησαν τή χώρα, ἐπέστρεψαν στήν πατρίδα. 7. Κι οἱ Μυτιληναῖοι πού πιέζονταν ἀπό τή σιτοδεία καί τόν πόλεμο καί στασίαζαν μεταξύ τους, παρέδωσαν τήν πόλη στούς πολιορκητές μέ συνθήκη. 8. Στήν Ἀθήνα, ἐνῶ ὁ λαός συσκεπτόταν καί συζητοῦσε πῶς πρέπει νά φερθοῦν στούς Μυτιληναίους, ὁ Κλέων ὁ δημαγωγός, ἕνας ἄνθρωπος ὠμός ἀπό χαρακτῆρος καί βίαιος, φανάτιζε τό λαό ὑποστηρίζοντας ὅτι ὅλους τούς Μυτιληναίους ἀπό ἐφήβους καί πάνω πρέπει νά τούς σκοτώσουν καί νά ἐξανδραποδίσουν τίς γυναῖκες καί τά παιδιά. 9. Στό τέλος οἱ Ἀθηναῖοι πείσθηκαν καί ἀποφάσισαν σύμφωνα μέ τή γνώμη τοῦ Κλέωνος κι ἔστειλαν στή Μυτιλήνη ἀνθρώπους ν' ἀνακοινώσουν στόν στρατηγό τήν ἀπόφαση τοῦ λαοῦ. 10. Μόλις ὁ Πάχης διάβασε τήν ἀπόφαση, κατέφθασε ἄλλη ἀπόφαση ἀντίθετη μέ τήν προηγούμενη. Ὁ Πάχης, μόλις ἔμαθε ὅτι οἱ Ἀθηναῖοι εἶχαν ἀλλάξει γνώμη, χάρηκε, κι ἀφοῦ συγκέντρωσε τούς Μυτιληναίους σέ συνέλευση, τούς ἀπάλλαξε ἀπό τίς κατηγορίες καί ταυτόχρονα τούς λύτρωσε ἀπό τούς μέγιστους φόβους. Οἱ Ἀθηναῖοι γκρέμισαν τά τείχη τῆς Μυτιλήνης καί ὁλόκληρη τή Λέσβο, ἐκτός ἀπό τήν περιοχή τῶν Μηθυμναίων, τή μοίρασαν σέ κλήρους.

Αὐτό τό τέλος εἶχε ἡ ἀποστασία τῶν Λεσβίων ἀπό τούς Ἀθηναίους.

56. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους Λακεδαιμόνιοι τὰς
Πλαταιὰς πολιορκοῦντες περιετείχισαν τὴν πόλιν καὶ στρα-
τιώταις πολλοῖς παρεφύλαττον. χρονιζούσης δὲ τῆς πο-
λιορκίας καὶ τῶν Ἀθηναίων μηδεμίαν ἐξαποστελλόντων
βοήθειαν, οἱ πολιορκούμενοι σιτοδείᾳ τε συνείχοντο καὶ
τῶν πολιτῶν ἐν ταῖς προσβολαῖς πολλοὺς ἀπεβεβλήκεσαν.
2 ἀπορουμένων δ' αὐτῶν καὶ βουλευομένων περὶ τῆς σωτη-
ρίας, τοῖς μὲν πολλοῖς ἐδόκει τὴν ἡσυχίαν ἄγειν, τοῖς δ'
ἄλλοις ὡς διακοσίοις οὖσιν ἔδοξε νυκτὸς βιάσασθαι τοὺς
3 φύλακας καὶ διεκπεσεῖν εἰς τὰς Ἀθήνας. τηρήσαντες οὖν
ἀσέληνον νύκτα τοὺς μὲν ἄλλους ἔπεισαν εἰς θάτερα μέρη
προσβάλλειν τῷ περιτειχίσματι, αὐτοὶ δ' ἑτοιμασάμενοι κλί-
μακας, καὶ τῶν πολεμίων παραβοηθούντων ἐν τοῖς ἀπε-
στραμμένοις μέρεσι τῶν τειχῶν, αὐτοὶ διὰ τῶν κλιμάκων
ἔτυχον ἀναβάντες ἐπὶ τὸ τεῖχος, καὶ τοὺς φύλακας ἀπο-
4 κτείναντες διέφυγον εἰς τὰς Ἀθήνας. τῇ δ' ὑστεραίᾳ Λακε-
δαιμόνιοι μὲν παροξυνθέντες ἐπὶ τῷ δρασμῷ τῶν ἀπεληλυ-
θότων ἐκ τῆς πόλεως, προσέβαλον τῇ πόλει τῶν Πλαταιέων
καὶ πᾶσαν εἰσεφέροντο σπουδὴν βίᾳ χειρώσασθαι τοὺς πο-
λιορκουμένους· οἱ δὲ Πλαταιεῖς καταπλαγέντες καὶ δια-
πρεσβευσάμενοι παρέδωκαν ἑαυτούς τε καὶ τὴν πόλιν τοῖς
5 πολεμίοις. οἱ δ' ἡγεμόνες τῶν Λακεδαιμονίων καθ' ἕνα τῶν
Πλαταιέων προσκαλούμενοι ἐπηρώτων τί ἀγαθὸν πεποί-
ηκε τοῖς Λακεδαιμονίοις, ἑκάστου δὲ ὁμολογοῦντος μηδὲν
εὐηργετηκέναι, πάλιν ἐπηρώτων εἴ τι κακὸν ἔδρασαν τοὺς
Σπαρτιάτας· οὐδενὸς δ' ἀντιλέγοντος, πάντων κατέγνωσαν
6 θάνατον. διὸ καὶ τοὺς ἐγκαταλειφθέντας ἅπαντας ἀνεῖλον
καὶ κατασκάψαντες ἐμίσθωσαν τὴν χώραν αὐτῶν. Πλα-
ταιεῖς μὲν οὖν τὴν πρὸς Ἀθηναίους συμμαχίαν βεβαιοτάτην
τηρήσαντες ἀδίκως ταῖς μεγίσταις συμφοραῖς περιέπεσον.

56.

Τόν ἴδιο καιρό περίπου οἱ Λακεδαιμόνιοι, πού πολιορκοῦσαν τίς Πλαταιές, περιτείχισαν τήν πόλη καί τήν ἤλεγχαν μέ μιά φρουρά ἀπό πολλούς στρατιῶτες. Κι ὅπως ἡ πολιορκία ἐχρόνιζε κι οἱ Ἀθηναῖοι δέν ἔστελναν καμμιά βοήθεια, οἱ πολιορκούμενοι ὑπέφεραν ἀπό τή σιτοδεία κι ἐπίσης εἶχαν χάσει πολλούς ἄνδρες κατά τίς ἐπιθέσεις. 2. Καί, καθώς βρίσκονταν σέ ἀμηχανία καί συσκέπτονταν γιά τή σωτηρία τους, ἡ πλειοψηφία ἦταν τῆς γνώμης νά μήν κινηθοῦν, ἀλλά οἱ ὑπόλοιποι, κάπου διακόσιοι, ὑποστήριξαν νά ἐκβιάσουν μιά δίοδο ἀνάμεσα ἀπό τή φρουρά καί νά περάσουν στήν Ἀθήνα. 3. Ἔτσι, παραφύλαξαν μιά νύχτα ἀσέληνη κι ἔπεισαν τούς ἄλλους Πλαταιεῖς νά ἐνεργήσουν μιά ἐπίθεση σ' ἕνα σημεῖο τοῦ περιτειχίσματος κι αὐτοί, ἀφοῦ ἑτοίμασαν σκάλες, τήν ὥρα πού οἱ ἐχθροί ἔσπευδαν ν' ἀποκρούσουν τήν ἐπίθεση στά ἀντίθετα σημεῖα τοῦ τείχους, ἀνέβηκαν μέ τίς σκάλες στό τεῖχος, σκότωσαν τούς φρουρούς καί διέφυγαν στήν Ἀθήνα. 4. Τήν ἑπομένη οἱ Λακεδαιμόνιοι πειραγμένοι ἀπό τή φυγή αὐτῶν πού διέρρευσαν ἀπό τήν πόλη, ἐπιτέθηκαν ἐναντίον τῆς πόλεως τῶν Πλαταιέων καί ἔκαναν τό πᾶν νά κυριεύσουν τούς πολιορκημένους ἐξ ἐφόδου. Οἱ Πλαταιεῖς φοβήθηκαν κι ἔστειλαν πρέσβεις πού διαπραγματεύθηκαν τήν παράδοσή τους καί τήν παράδοση τῆς πόλεως στούς ἐχθρούς. 5. Οἱ ἀρχηγοί τῶν Λακεδαιμονίων καλοῦσαν ἕναν-ἕναν ἀπό τούς Πλαταιεῖς καί τόν ρωτοῦσαν τί καλό ἔκανε στούς Λακεδαιμονίους. Καί ὅταν, καθώς ὁμολογοῦσε ὅτι δέν τούς ἔκανε κανένα καλό, πάλι τούς ρωτοῦσαν, ἄν ἔπραξαν κανένα κακό σέ βάρος τῶν Σπαρτιατῶν. Κι ἐπειδή κανείς δέν μποροῦσε ν' ἀρνηθῇ ὅτι ἔκανε, τούς καταδίκασε ὅλους σέ θάνατο. 6. Ἔτσι αὐτοί πού εἶχαν μείνει, τούς σκότωσαν ὅλους, κατέσκαψαν τήν πόλη καί μίσθωσαν ὅλη τήν περιοχή. Οἱ Πλαταιεῖς λοιπόν πού τήρησαν σταθερά τή συμμαχία πρός τούς Ἀθηναίους, ἔπεσαν ἄδικα στίς πιό μεγάλες συμφορές.

*57. Ἅμα δὲ τούτοις πραττομένοις ἐν τῇ Κερκύρᾳ μεγάλη
συνέστη στάσις καὶ φιλοτιμία διὰ τοιαύτας αἰτίας. ἐν τῷ περὶ
Ἐπίδαμνον πολέμῳ πολλοὶ Κερκυραίων αἰχμάλωτοι γενό-
μενοι καὶ καταβληθέντες εἰς τὴν δημοσίαν φυλακὴν ἐπηγ-
γείλαντο τοῖς Κορινθίοις παραδώσειν τὴν Κέρκυραν, ἐὰν
2 αὐτοὺς ἀπολύσωσιν. ἀσμένως δὲ τῶν Κορινθίων προσδε-
ξαμένων τοὺς λόγους, οἱ Κερκυραῖοι προσποιηθέντες λύτρα
διδόναι διηγγυήθησαν ὑπὸ τῶν προξένων ἱκανῶν τινων τα-
3 λάντων ἀφεθέντες. καὶ τηροῦντες τὴν τῶν ὡμολογημένων
πίστιν, ὡς κατήντησαν εἰς τὴν πατρίδα, τοὺς δημαγωγεῖν
εἰωθότας καὶ μάλιστα τοῦ πλήθους προΐστασθαι συλλα-
βόντες ἀπέσφαξαν. καταλύσαντες δὲ τὴν δημοκρατίαν, μετ᾽
ὀλίγον χρόνον Ἀθηναίων βοηθησάντων τῷ δήμῳ, οἱ μὲν
Κερκυραῖοι τὴν ἐλευθερίαν ἀνακτησάμενοι κολάζειν ἐπε-
βάλοντο τοὺς τὴν ἐπανάστασιν πεποιημένους· οὗτοι δὲ φο-
βηθέντες τὴν τιμωρίαν κατέφυγον ἐπὶ τοὺς τῶν θεῶν βω-
4 μοὺς καὶ ἱκέται τοῦ δήμου καὶ τῶν θεῶν ἐγένοντο. οἱ δὲ
Κερκυραῖοι διὰ τὴν πρὸς θεοὺς εὐσέβειαν τῆς μὲν τιμωρίας
αὐτοὺς ἀπέλυσαν, ἐκ τῆς πόλεως δὲ ἐξέπεμψαν. οὗτοι δὲ πά-
λιν νεωτερίζειν ἐπιβαλόμενοι καὶ τειχίσαντες ἐν τῇ νήσῳ
χωρίον ὀχυρὸν ἐκακοποίουν τοὺς Κερκυραίους.*

Ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

*58. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησιν Εὐθύνου Ῥωμαῖοι κατέ-
στησαν ἀντὶ τῶν ὑπάτων χιλιάρχους τρεῖς, Μάρκον Φά-
βιον, Μάρκον Φαλίνιον, Λεύκιον Σερουίλιον. ἐπὶ δὲ τούτων
Ἀθηναῖοι χρόνον τινὰ τῆς νόσου τῆς λοιμικῆς ἀνειμένοι πά-*

57.

Κι ἐνῶ συνέβαιναν αὐτά τά γεγονότα, στήν Κέρκυρα ξέσπασε μεγάλη ἐμφύλια διαμάχη καί ἔρις ἀπό τίς ἀκόλουθες αἰτίες. Στόν πόλεμο γιά τήν Ἐπίδαμνο πολλοί Κερκυραῖοι, πού εἶχαν πιαστῆ αἰχμάλωτοι καί εἶχαν ριφθῆ στίς κρατικές φυλακές, ὑποσχέθηκαν στούς Κορίνθιους νά παραδώσουν τήν Κέρκυρα, ἄν τούς ἀφήσουν ἐλεύθερους. 2. Οἱ Κορίνθιοι δέχθηκαν εὐχαρίστως τίς προτάσεις κι οἱ Κερκυραῖοι μέ τό πρόσχημα ὅτι πηγαίνουν νά φέρουν τά λύτρα, ἀφέθηκαν ἐλεύθεροι, ἀφοῦ κατέβαλαν ὡς ἐγγύηση μερικά τάλαντα οἱ πρόξενοι[47]. 3. Πιστοί στίς ὑποσχέσεις τους, ὅταν ἔφθασαν στήν πατρίδα, ἔπιασαν καί σκότωσαν τούς παράγοντες πού καθοδηγοῦσαν τό λαό καί ἦταν οἱ ἀρχηγοί του. Καί κατέλυσαν τήν δημοκρατία. Ἀλλά ὅταν, λίγο ἀργότερα, οἱ Ἀθηναῖοι ἦρθαν νά βοηθήσουν τούς δημοκρατικούς, οἱ Κερκυραῖοι, πού τώρα ἀπέκτησαν τήν ἐλευθερία τους ἀνέλαβαν νά τιμωρήσουν αὐτούς πού ἦταν ὑπεύθυνοι τῆς ἐξεγέρσεως ἐναντίον τοῦ καθεστῶτος. Κι αὐτοί ἀπό τό φόβο τῆς τιμωρίας κατέφυγαν στούς βωμούς τῶν θεῶν κι ἔγιναν ἱκέτες τοῦ λαοῦ καί τῶν θεῶν. 4. Οἱ Κερκυραῖοι γιά τήν εὐσέβειά τους πρός τούς θεούς τούς ἀπάλλαξαν ἀπό τήν τιμωρία καί τούς ἔδιωξαν ἀπό τήν πόλη. Ἀλλά αὐτοί ἀνέλαβαν πάλι τήν ὀργάνωση ἐξεγέρσεως καί, ἀφοῦ ἐτείχισαν μιά ὀχυρή θέση στό νησί, συνέχιζαν νά βλάπτουν τούς Κερκυραίους.

58.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Εὐθύνους, οἱ Ρωμαῖοι ἀνέδειξαν ἀντί τῶν ὑπάτων τρεῖς χιλιάρχους, τόν Μάρκο Φάβιο, τόν Μάρκο Φαλίνιο καί τόν Λεύκιο Σερβίλιο. Αὐτήν τή χρονιά οἱ Ἀθηναῖοι, πού γιά λίγον καιρό εἶχαν ἀνακουφισθῆ ἀπό

47. Οἱ πρόξενοι ἦταν πολίτες μιᾶς πόλεως πού ἐκλέγονταν ἀπό ἄλλη πόλη γιά νά φροντίζουν γιά τά συμφέροντα (διαμονή, ἐμπόριο κλπ.) τῶν πολιτῶν της πού ἔμεναν ἐκεῖ. Ἕνα εἶδος πρεσβείας ἤ προξενείου, ὅπως τά ἐννοοῦμε σήμερα.

2 λιν εἰς τὰς αὐτὰς συμφορὰς ἐνέπεσον· οὕτω γὰρ ὑπὸ τῆς νό-
σου διετέθησαν, ὥστε τῶν στρατιωτῶν ἀποβαλεῖν πεζοὺς
μὲν ὑπὲρ τοὺς τετρακισχιλίους, ἱππεῖς δὲ τετρακοσίους, τῶν
δ' ἄλλων ἐλευθέρων τε καὶ δούλων ὑπὲρ τοὺς μυρίους. ἐπι-
ζητούσης δὲ τῆς ἱστορίας τὴν τῆς περὶ τὴν νόσον δεινότητος
αἰτίαν, ἀναγκαῖόν ἐστιν ἐκθέσθαι ταῦτα.

3 Προγεγενημένων ἐν τῷ χειμῶνι μεγάλων ὄμβρων συνέβη
τὴν γῆν ἔνυδρον γενέσθαι, πολλοὺς δὲ καὶ τῶν κοίλων τόπων
δεξαμένους πλῆθος ὕδατος λιμνάσαι καὶ σχεῖν στατὸν ὕδωρ
παραπλησίως τοῖς ἑλώδεσι τῶν τόπων, θερμαινομένων δ' ἐν τῷ
θέρει τούτων καὶ σηπομένων συνίστασθαι παχείας καὶ δυσώ-
δεις ἀτμίδας, ταύτας δ' ἀναθυμιωμένας διαφθείρειν τὸν πλη-
σίον ἀέρα· ὅπερ δὴ καὶ ἐπὶ τῶν ἑλῶν τῶν νοσώδη διάθεσιν ἐχόν-
4 των ὁρᾶται γινόμενον. συνεβάλετο δὲ πρὸς τὴν νόσον καὶ ἡ τῆς
προσφερομένης τροφῆς κακία· ἐγένοντο γὰρ οἱ καρποὶ κατὰ
τοῦτον τὸν ἐνιαυτὸν ἔνυγροι παντελῶς καὶ διεφθαρμένην
ἔχοντες τὴν φύσιν. τρίτην δὲ αἰτίαν συνέβη γενέσθαι τῆς νόσου
τὸ μὴ πνεῦσαι τοὺς ἐτησίας, δι' ὧν ἀεὶ κατὰ τὸ θέρος ψύχεται
τὸ πολὺ τοῦ καύματος· τῆς δὲ θερμασίας ἐπίτασιν λαβούσης
καὶ τοῦ ἀέρος ἐμπύρου γενομένου, τὰ σώματα τῶν ἀνθρώπων
5 μηδεμιᾶς ψύξεως γενομένης λυμαίνεσθαι συνέβαινε. διὸ καὶ τὰ
νοσήματα τότε πάντα καυματώδη συνέβαινεν εἶναι διὰ τὴν
ὑπερβολὴν τῆς θερμασίας. διὰ δὲ ταύτην τὴν αἰτίαν οἱ πλεῖστοι
τῶν νοσούντων ἔρριπτον ἑαυτοὺς εἰς τὰ φρέατα καὶ τὰς κρή-
6 νας, ἐπιθυμοῦντες αὐτῶν καταψύξαι τὰ σώματα. οἱ δ' Ἀθη-
ναῖοι διὰ τὴν ὑπερβολὴν τῆς νόσου τὰς αἰτίας τῆς συμφορᾶς
ἐπὶ τὸ θεῖον ἀνέπεμπον. διὸ καὶ κατά τινα χρησμὸν ἐκάθηραν
τὴν νῆσον Δῆλον, Ἀπόλλωνος μὲν οὖσαν ἱεράν, δοκοῦσαν δὲ
7 μεμιάνθαι διὰ τὸ τοὺς τετελευτηκότας ἐν αὐτῇ τεθάφθαι. ἀνα-
σκάψαντες οὖν ἁπάσας τὰς ἐν τῇ Δήλῳ θήκας μετήνεγκαν εἰς
τὴν Ῥήνειαν καλουμένην νῆσον, πλησίον ὑπάρχουσαν τῆς Δή-
λου. ἔταξαν δὲ καὶ νόμον μήτε τίκτειν ἐν τῇ Δήλῳ μήτε θάπτειν.

τή λοιμική, ἔπεσαν πάλι στίς ἴδιες συμφορές. 2. Γιατί εἶχαν χτυπηθῆ τόσο βαριά ἀπό τήν ἀρρώστια, ὥστε ἔχασαν πάνω ἀπό τέσσερες χιλιάδες πεζούς στρατιῶτες, τετρακόσιους ἱππεῖς κι ἀπό τούς ἄλλους, ἐλεύθερους καί δούλους, πάνω ἀπό δέκα χιλιάδες. Καί ἐπειδή ἡ ἱστορία ἐπιζητεῖ νά ἐξακριβώση τήν αἰτία πού ἡ ἐπιδημία ὑπῆρξε τόσο κακοήθης, θεωροῦμε καθῆκον νά ἐξηγήσωμε τό πρᾶγμα.

3. Τόν προηγούμενο χειμώνα ἔπεσαν μεγάλες βροχές μ' ἀποτέλεσμα νά χορτάση ἡ γῆ νερό καί πολλές κοιλότητες τοῦ ἐδάφους πού δέχθηκαν ἄφθονα νερά ἐλίμνασαν καί κράτησαν στεκούμενα νερά, ὅπως συμβαίνει μέ τίς ἑλώδεις ἐκτάσεις. Κι ὅταν αὐτά τά νερά ζεσταίνονταν τό καλοκαίρι καί σήπονταν σχηματίζονταν πυκνοί καί δυσώδεις ἀτμοί, πού, καθώς ἀναδίδονταν, ἐμόλυναν τόν ἀέρα τοῦ περιβάλλοντος. Πρᾶγμα ἀκριβῶς πού τό βλέπει κανείς νά συμβαίνη καί μέ τά νοσογόνα ἕλη. 4. Συνετέλεσε ἐπίσης στήν ἐμφάνιση τοῦ λοιμοῦ καί ἡ κακή ποιότητα τῶν τροφῶν. Γιατί οἱ καρποί αὐτήν τή χρονιά ἦταν νερουλιασμένοι κι ἡ φυσική τους ποιότητα πολύ κακή. Καί μιά τρίτη αἰτία τῆς ἀρρώστιας ὑπῆρξε τό γεγονός, ὅτι δέν φύσηξαν τά μελτέμια, πού κατά τό θέρος δροσίζουν τήν ἀτμόσφαιρα ἀπό τόν πολύ καύσωνα. Ὅταν ὁ καύσων ἐπιτάθηκε κι ὁ ἀέρας πύρωσε, τά σώματα τῶν ἀνθρώπων, πού δέν δροσίζονταν καθόλου, κατέρρεαν. 5. Γι' αὐτό καί ὅλες οἱ ἀρρώστιες τῆς περιόδου ἐκείνης συνοδεύονταν μέ πυρετό ἐξ αἰτίας τοῦ μεγάλου καύσωνα. Γι' αὐτό οἱ περισσότεροι ἀπό τούς ἀρρώστους κατέβαιναν στά πηγάδια καί στίς βρύσες γιά νά δροσίσουν τό κορμί τους. 6. Κι οἱ Ἀθηναῖοι, ἐπειδή ἡ ἀρρώστια ἦταν τόσο βαρειά, ἀπέδιδαν στό θεό τίς αἰτίες τῆς συμφορᾶς τους. Γι' αὐτό καί ἀκολουθώντας κάποιο χρησμό ἔκαναν καθαρμό τῆς νήσου Δήλου πού εἶναι ἱερά νῆσος τοῦ Ἀπόλλωνος καί εἶχε μιανθῆ, ὅπως πίστεψαν, ἀπό τό γεγονός ὅτι εἶχαν θάψει ἐκεῖ τούς νεκρούς. 7. Ἔσκαψαν λοιπόν ὅλους τούς τάφους στή Δῆλο καί μετέφεραν τά λείψανα στή λεγομένη Ρήνεια νῆσο, πού εἶναι κοντά στή Δῆλο. Καί ψήφισαν νόμο πού ἀπαγόρευε νά γίνεται στή νῆσο ἤ τοκετός ἤ ταφή. Καί καθιέ-

ἐποίησαν δὲ καὶ πανήγυριν τὴν τῶν Δηλίων, γεγενημένην μὲν
πρότερον, διαλιποῦσαν δὲ πολὺν χρόνον.

59. Τῶν δ᾽ Ἀθηναίων περὶ ταῦτ᾽ ἀσχολουμένων Λακε-
δαιμόνιοι τοὺς Πελοποννησίους παραλαβόντες κατεστρα-
τοπέδευσαν περὶ τὸν ἰσθμόν, διανοούμενοι πάλιν εἰς τὴν
Ἀττικὴν εἰσβαλεῖν· σεισμῶν δὲ μεγάλων γινομένων δεισι-
2 *δαιμονήσαντες ἀνέκαμψαν εἰς τὰς πατρίδας. τηλικούτους*
δὲ τοὺς σεισμοὺς συνέβη γενέσθαι κατὰ πολλὰ μέρη τῆς
Ἑλλάδος, ὥστε καὶ πόλεις τινὰς ἐπιθαλαττίους ἐπικλύσασαν
τὴν θάλατταν διαφθεῖραι, καὶ κατὰ τὴν Λοκρίδα χερρονή-
σου καθεστώσης ῥῆξαι μὲν τὸν ἰσθμόν, ποιῆσαι δὲ νῆσον τὴν
ὀνομαζομένην Ἀταλάντην.
3 *Ἅμα δὲ τούτοις πραττομένοις Λακεδαιμόνιοι τὴν Τραχῖ-*
να καλουμένην ᾤκισαν καὶ μετωνόμασαν Ἡράκλειαν διὰ
4 *τοιαύτας τινὰς αἰτίας. Τραχίνιοι πρὸς Οἰταίους ὁμόρους*
ὄντας ἔτη πολλὰ διεπολέμουν καὶ τοὺς πλείους τῶν πολιτῶν
ἀπέβαλον. ἐρήμου δ᾽ οὔσης τῆς πόλεως ἠξίωσαν Λακεδαι-
μονίους ὄντας ἀποίκους ἐπιμεληθῆναι τῆς πόλεως. οἱ δὲ καὶ
διὰ τὴν συγγένειαν καὶ διὰ τὸ τὸν Ἡρακλέα, πρόγονον
ἑαυτῶν ὄντα, ἐγκατῳκηκέναι κατὰ τοὺς ἀρχαίους χρόνους
5 *ἐν τῇ Τραχῖνι, ἔγνωσαν μεγάλην αὐτὴν ποιῆσαι πόλιν. διὸ*
καὶ Λακεδαιμονίων μὲν καὶ τῶν Πελοποννησίων τετρακι-
σχιλίους οἰκήτορας ἐκπεμψάντων, καὶ παρὰ τῶν ἄλλων
Ἑλλήνων τοὺς βουλομένους μετέχειν τῆς ἀποικίας προσε-
δέξαντο· οὗτοι δ᾽ ἦσαν οὐκ ἐλάττους τῶν ἑξακισχιλίων. διὸ
καὶ τὴν Τραχῖνα μυρίανδρον ποιήσαντες, καὶ τὴν χώραν κα-
τακληρουχήσαντες, ὠνόμασαν τὴν πόλιν Ἡράκλειαν.

60. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Στρατοκλέους ἐν Ῥώμη
ἀντὶ τῶν ὑπάτων χιλίαρχοι τρεῖς κατεστάθησαν, Λεύκιος

ρωσαν καί μιά πανήγυρι τῶν Δηλίων, πού γιορταζόταν παλαιότερα, ἀλλά γιά πολύν καιρό εἶχε σταματήσει.

59.

Ἐνῶ οἱ Ἀθηναῖοι ἦταν ἀπασχολημένοι μ᾽ αὐτά τά θέματα, οἱ Λακεδαιμόνιοι παίρνοντας μαζί τους τούς Πελοποννησίους στρατοπέδευσαν στόν Ἰσθμό μέ σκοπό νά εἰσβάλουν πάλι στήν Ἀττική. Ἀλλά ὅταν ἔγιναν μεγάλοι σεισμοί, κατελήφθησαν ἀπό φόβο πρός τόν θεό κι ἐπέστρεψαν πάλι στίς πατρίδες τους. 2. Καί συνέβη νά γίνουν σέ πολλά μέρη τῆς Ἑλλάδος τόσο ἰσχυροί σεισμοί, πού καί πόλεις ἀκόμα παραθαλάσσιες κατακλύσθηκαν ἀπό τή θάλασσα κι ἀφανίσθηκαν, ἐνῶ στή Λοκρίδα ὁ λαιμός μιᾶς χερσονήσου ἀποχωρίσθηκε ἀπό τή στεριά καί σχηματίσθηκε ἔτσι μιά νῆσος, ἡ λεγόμενη Ἀταλάντη.

3. Κι ἐνῶ συνέβαιναν ὅλα αὐτά, οἱ Λακεδαιμόνιοι ἀποίκισαν τήν λεγόμενη Τραχῖνα καί τήν μετονόμασαν Ἡράκλεια ἀπό τίς ἑξῆς αἰτίες. 4. Οἱ Τραχίνιοι βρίσκονταν σέ πόλεμο ἐπί πολλά χρόνια μέ τούς γείτονές τους τούς Οἰταίους κι εἶχαν χάσει τούς περισσότερους ἀπό τούς πολίτες. Κι ἐπειδή ἡ πόλη ἦταν ἔρημη, ζήτησαν ἀπό τούς Λακεδαιμονίους, πού ἦταν ἄποικοι ἀπό τήν Τραχῖνα, νά ἀναλάβουν τή φροντίδα τῆς πόλεως. Κι οἱ Λακεδαιμόνιοι ἐπειδή ἦταν συγγενεῖς τους καί ἐπειδή στ᾽ ἀρχαῖα χρόνια κατοίκησε στήν Τραχῖνα ὁ Ἡρακλῆς, πού ἦταν πρόγονός τους, ἀποφάσισαν νά τήν κάνουν μεγάλη πόλη. 5. Γι᾽ αὐτό οἱ Λακεδαιμόνιοι κι οἱ Πελοποννήσιοι ἔστειλαν τέσσερες χιλιάδες ἀποίκους καί δέχθηκαν κι ἀπό τούς ἄλλους Ἕλληνες ὅποιον ἤθελε νά μετάσχη στόν ἀποικισμό. Αὐτοί δέν ἦταν λιγότεροι ἀπό ἔξι χιλιάδες. Γι᾽ αὐτό ἔκαναν τήν Τραχῖνα μιά πόλη μέ δέκα χιλιάδες κατοίκους, κι ἀφοῦ μοίρασαν τήν περιοχή της, ὀνόμασαν τήν πόλη Ἡράκλεια.

60.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Στρατοκλῆς, στή Ρώμη ἀντί τῶν ὑπάτων ἀναδείχθηκαν τρεῖς χιλίαρχοι, ὁ Λεύκιος Φού-

Φούριος, Σπόριος Πινάριος καὶ Γάιος Μέτελλος. ἐπὶ δὲ τού-
των Ἀθηναῖοι μὲν Δημοσθένη προχειρισάμενοι στρατηγὸν
μετὰ νεῶν τριάκοντα καὶ στρατιωτῶν ἱκανῶν ἐξαπέστειλαν.
οὗτος δὲ προσλαβόμενος παρὰ τῶν Κερκυραίων τριήρεις
πεντεκαίδεκα καὶ παρὰ τῶν Κεφαλλήνων καὶ Ἀκαρνάνων καὶ
Μεσσηνίων τῶν ἐν Ναυπάκτῳ στρατιώτας ἔπλευσεν ἐπὶ τὴν
Λευκάδα. δῃώσας δὲ τὴν χώραν τῶν Λευκαδίων ἀπέπλευσεν
ἐπὶ τὴν Αἰτωλίαν καὶ πολλὰς αὐτῶν κώμας ἐπόρθησε. τῶν δὲ
Αἰτωλῶν συστραφέντων ἐπ' αὐτὸν ἐγένετο μάχη, καθ' ἣν
2 *Ἀθηναῖοι λειφθέντες εἰς Ναύπακτον ἀπεχώρησαν. οἱ δὲ Αἰτω-*
λοὶ διὰ τὴν νίκην ἐπαρθέντες, καὶ προσλαβόμενοι Λακεδαι-
μονίων τρισχιλίους στρατιώτας, στρατεύσαντες ἐπὶ Ναύπα-
κτον, κατοικούντων ἐν αὐτῇ τότε Μεσσηνίων, ἀπεκρού-
3 *σθησαν. μετὰ δὲ ταῦτα στρατεύσαντες ἐπὶ τὴν ὀνομαζομένην*
Μολυκρίαν εἷλον τὴν πόλιν. ὁ δὲ τῶν Ἀθηναίων στρατηγὸς
Δημοσθένης εὐλαβούμενος μὴ καὶ τὴν Ναύπακτον ἐκπο-
λιορκήσωσι, χιλίους ὁπλίτας ἐξ Ἀκαρνανίας μεταπεμψάμενος
4 *ἀπέστειλεν εἰς τὴν Ναύπακτον. Δημοσθένης δὲ περὶ τὴν*
Ἀκαρνανίαν διατρίβων περιέτυχεν Ἀμπρακιώταις χιλίοις
στρατοπεδεύουσι, πρὸς οὓς συνάψας μάχην σχεδὸν πάντας
ἀνεῖλε. τῶν δ' ἐκ τῆς Ἀμπρακίας ἐπεξελθόντων πανδημεί,
πάλιν ὁ Δημοσθένης τοὺς πλείους αὐτῶν ἀπέκτεινεν, ὥστε τὴν
5 *πόλιν σχεδὸν ἔρημον γενέσθαι. ὁ μὲν οὖν Δημοσθένης ᾤετο*
δεῖν ἐκπολιορκῆσαι τὴν Ἀμπρακίαν, ἐλπίζων διὰ τὴν ἐρημίαν
τῶν ἀμυνομένων ῥᾳδίως αὐτὴν αἱρήσειν. οἱ δ' Ἀκαρνᾶνες φο-
βούμενοι μὴ τῆς πόλεως Ἀθηναῖοι κυριεύσαντες βαρύτεροι
πάροικοι γένωνται τῶν Ἀμπρακιωτῶν, οὐκ ἔφασαν ἀκολου-
6 *θεῖν. στασιαζόντων δ' αὐτῶν, οἱ μὲν Ἀκαρνᾶνες διαλυσάμε-*
νοι τοῖς Ἀμπρακιώταις συνέθεντο τὴν εἰρήνην εἰς ἔτη ἑκατόν,
Δημοσθένης δ' ἐγκαταλειφθεὶς ὑπὸ τῶν Ἀκαρνάνων ἀπέ-
πλευσε σὺν ταῖς εἴκοσι ναυσὶν εἰς Ἀθήνας. Ἀμπρακιῶται δὲ

ριος, ὁ Σπόριος Πινάριος καί ὁ Γάιος Μέτελλος. Αὐτόν τό χρόνο οἱ Ἀθηναῖοι ἐξέλεξαν στρατηγό τόν Δημοσθένη καί τόν ἐξαπέστειλαν μέ τριάντα πλοῖα καί ἀρκετούς στρατιῶτες. Παρέλαβε λοιπόν ἐπί πλέον δεκαπέντε τριήρεις ἀπό τούς Κερκυραίους καί στρατιῶτες ἀπό τούς Κεφαλλῆνες, τούς Ἀκαρνᾶνες καί τούς Μεσσηνίους τῆς Ναυπάκτου καί ἔπλευσε στή Λευκάδα. Κι ἀφοῦ λεηλάτησε τή χώρα τῶν Λευκαδίων, ἀπέπλευσε πρός τήν Αἰτωλία καί λεηλάτησε πολλά χωριά της. Ἀλλά οἱ Αἰτωλοί συσπειρώθηκαν ἐναντίον του καί συνήφθη μάχη, κατά τήν ὁποία οἱ Ἀθηναῖοι νικήθηκαν κι ἀπεχώρησαν στή Ναύπακτο. 2. Οἱ Αἰτωλοί ξυπάστηκαν γιά τή νίκη τους καί μέ τή βοήθεια τριῶν χιλιάδων Λακεδαιμονίων ἐξεστράτευσαν ἐναντίον τῆς Ναυπάκτου, ἀλλά ἀποκρούσθηκαν. 3. Ἔπειτα ἐξεστράτευσαν ἐναντίον τῆς λεγομένης Μολυκρίας[48] καί κυρίευσαν τήν πόλη. Ὁ Δημοσθένης, ὁ στρατηγός τῶν Ἀθηναίων, ἀπό τό φόβο του, μήπως πολιορκήσουν καί καταλάβουν καί τή Ναύπακτο, μετεκάλεσε ἀπό τήν Ἀκαρνανία χίλιους ὁπλίτες καί τούς ἔστειλε στή Ναύπακτο. 4. Κι ὁ ἴδιος, ἐνῶ παρέμενε στήν Ἀκαρνανία, ἔπεσε πάνω σέ χίλιους Ἀμπρακιῶτες πού ἦταν στρατοπεδευμένοι, συνῆψε μάχη μαζί τους καί τούς σκότωσε σχεδόν ὅλους. Καί ὅταν οἱ κάτοικοι τῆς Ἀμπρακίας ἐξεστράτευσαν ὅλοι μαζί ἐναντίον του, πάλι ὁ Δημοσθένης τούς ἀποδεκάτισε, ὥστε σχεδόν ἐρημώθηκε ὅλη ἡ πόλη. 5. Ὁ Δημοσθένης τότε σκέφθηκε, ὅτι ἦταν κατάλληλη ἡ στιγμή νά καταλάβη μέ ἔφοδο τήν Ἀμπρακία, ἐλπίζοντας ὅτι θά τήν καταλάβη εὔκολα, γιατί ἡ πόλη δέν εἶχε στρατιῶτες νά τήν ὑπερασπίσουν. Ἀλλά οἱ Ἀκαρνᾶνες φοβούμενοι μήπως κυριεύσουν τήν πόλη καί γίνουν χειρότεροι γείτονες ἀπό τούς Ἀμπρακιῶτες, ἀρνήθηκαν ν' ἀκολουθήσουν. 6. Κι ὅπως διχάσθηκαν καί φιλονικοῦσαν, οἱ Ἀκαρνᾶνες συνθηκολόγησαν μέ τούς Ἀμπρακιῶτες καί συνῆψαν εἰρήνη γιά ἑκατό χρόνια, ἐνῶ ὁ Δημοσθένης, πού τόν ἐγκατέλειψαν οἱ Ἀκαρνᾶνες, ἀπέπλευσε μέ τά εἴκοσι πλοῖα στήν Ἀθήνα. Οἱ Ἀμπρα-

48. Κάπου πέντε μίλια ΝΔ τῆς Ναυπάκτου.

*μεγάλῃ συμφορᾷ περιπεπτωκότες παρὰ τῶν Λακεδαιμο-
νίων φρουρὰν μετεπέμψαντο, φοβούμενοι τοὺς Ἀθηναίους.*

*61. Δημοσθένης δὲ στρατεύσας ἐπὶ Πύλον ἐπεβάλετο
τοῦτο τὸ χωρίον τειχίσαι κατὰ τῆς Πελοποννήσου· ἔστι γὰρ
ὀχυρόν τε διαφερόντως καὶ κείμενον ἐν τῇ Μεσσηνίᾳ, τῆς δὲ
Σπάρτης ἀπέχον σταδίους τετρακοσίους. ἔχων δὲ τότε καὶ
ναῦς πολλὰς καὶ στρατιώτας ἱκανούς, ἐν εἴκοσιν ἡμέραις
ἐτείχισε τὴν Πύλον. Λακεδαιμόνιοι δὲ πυθόμενοι τὸν τει-
χισμὸν τῆς Πύλου συνήγαγον δύναμιν ἀξιόλογον οὐ μόνον*
2 *πεζήν, ἀλλὰ καὶ ναυτικήν. διὸ καὶ τριήρεσι μὲν ἐπὶ τὴν Πύ-
λον ἔπλευσαν τετταράκοντα πέντε καλῶς κατεσκευασμέ-
ναις, πεζοῖς δὲ ἐστράτευσαν μυρίοις καὶ δισχιλίοις, αἰσχρὸν
ἡγούμενοι τοὺς τῇ Ἀττικῇ δῃουμένῃ μὴ τολμήσαντας βοη-
θεῖν ἐν Πελοποννήσῳ χωρίον τειχίζειν καὶ καταλαμβάνε-*
3 *σθαι. οὗτοι μὲν οὖν ἡγουμένου Θρασυμήδους πλησίον τῆς
Πύλου κατεστρατοπέδευσαν. ἐμπεσούσης δὲ ὁρμῆς τῷ πλή-
θει πάντα κίνδυνον ὑπομένειν καὶ βίᾳ χειρώσασθαι τὴν Πύ-
λον, τὰς μὲν ναῦς ἀντιπρῴρους ἔστησαν τῷ στόματι τοῦ λι-
μένος, ὅπως διὰ τούτων ἐμφράξωσι τὸν εἴσπλουν τῶν
πολεμίων, πεζῇ δ' ἐκ διαδοχῆς προσβάλλοντες τῷ τείχει καὶ
φιλοτιμίαν τὴν μεγίστην εἰσφερόμενοι θαυμασίους ἀγῶνας*
4 *συνεστήσαντο. εἰς δὲ τὴν νῆσον τὴν καλουμένην Σφακτη-
ρίαν, παρατεταμένην δ' ἐπὶ μῆκος καὶ ποιοῦσαν εὔδιον τὸν
λιμένα, διεβίβασαν τοὺς ἀρίστους τῶν Λακεδαιμονίων καὶ
τῶν συμμάχων. τοῦτο δ' ἔπραξαν φθάσαι βουλόμενοι τοὺς
Ἀθηναίους προκαταλαβέσθαι τὴν νῆσον, εὐφυῶς σφόδρα*
5 *κειμένην πρὸς τὴν πολιορκίαν. διημερεύοντες δ' ἐν ταῖς τει-
χομαχίαις καὶ κατατιτρωσκόμενοι διὰ τὴν ἀπὸ τοῦ τείχους*

κιῶτες, πού εἶχαν πέσει σέ μεγάλη συμφορά, κάλεσαν φρουρά ἀπό τούς Λακεδαιμονίους, γιατί φοβοῦνταν τούς Ἀθηναίους.

61.

Ὁ Δημοσθένης τώρα ἐξεστράτευσε ἐναντίον τῆς Πύλου μέ σκοπό νά ὀχυρώση αὐτό τό μέρος καί νά τό χρησιμοποιῆ ὡς ὁρμητήριο ἐναντίον τῆς Πελοποννήσου. Γιατί εἶναι μιά πολύ ὀχυρή θέση πού βρίσκεται στή Μεσσηνία καί ἀπέχει ἀπό τή Σπάρτη τετρακόσια στάδια. Καί καθώς διέθετε ἐκεῖνον τόν καιρό καί πλοῖα πολλά καί ἀρκετούς στρατιῶτες, μέσα σέ εἴκοσι μέρες ἐτείχισε τήν Πύλο. Οἱ Λακεδαιμόνιοι, ὅταν πληροφορήθηκαν τήν ὀχύρωση τῆς Πύλου, συγκέντρωσαν ἀξιόλογη δύναμη, καί πεζικό καί ναυτικό. 2. Ἔτσι ἔπλευσαν ἐναντίον τῆς Πύλου μέ σαράντα πέντε τριήρεις γερά ἐξοπλισμένες καί μέ δώδεκα χιλιάδες πεζούς. Γιατί τό θεωροῦσαν ντροπή τους νά καταλάβουν καί νά ὀχυρώνουν ἕνα μέρος στήν ἴδια τήν Πελοπόννησο ἐκεῖνοι πού δέν εἶχαν τήν τόλμη νά ὑπερασπίσουν τήν Ἀττική, ὅταν αὐτοί τήν λεηλατοῦσαν. 3. Αὐτές λοιπόν οἱ δυνάμεις μ' ἀρχηγό τόν Θρασυμήδη στρατοπέδευσαν κοντά στήν Πύλο. Καί καθώς οἱ στρατιῶτες κατέχονταν ἀπό τό μένος νά ἀντιμετωπίσουν κάθε κίνδυνο καί νά καταλάβουν τήν Πύλο μέ ἔφοδο, ἔστησαν τά πλοῖα τους μέ τήν πλώρη στραμμένη πρός τήν εἴσοδο τοῦ λιμένα, γιά νά φράξουν ἔτσι τό δρόμο στά ἐχθρικά πλοῖα, ἐνῶ μέ τό πεζικό ἐνεργοῦσαν ἀπανωτές ἐπιθέσεις ἐναντίον τοῦ τείχους μέ τή μέγιστη μαχητικότητα καί ὁρμή καί διεξήγαγαν ἀξιοθαύμαστους ἀγῶνες. 4. Ἐπίσης, στή λεγόμενη νῆσο Σφακτηρία, πού ἐκτείνεται σέ μεγάλο μῆκος καί προστατεύει τό λιμάνι ἀπό τούς ἀνέμους, ἀποβίβασαν τούς πιό γενναίους μεταξύ τῶν Λακεδαιμονίων καί τῶν συμμάχων. Καί τοῦτο, γιατί ἤθελαν νά προλάβουν τούς Ἀθηναίους καί νά καταλάβουν πρῶτοι τό νησί, πού ἀπό τή θέση του προσφερόταν θαυμάσια γιά τήν πολιορκία. 5. Καί ἐνῶ περνοῦσαν τίς ἡμέρες τους μαχόμενοι μπροστά στό τεῖχος, ὅπου ὑπέφεραν ἀπό τά πολλά τραύματα

ὑπεροχὴν οὐκ ἔληγον τῆς βίας· διὸ πολλοὶ μὲν αὐτῶν ἀπέθνησκον, οὐκ ὀλίγοι δὲ κατετραυματίζοντο πρὸς τόπον
6 *ὠχυρωμένον βιαζόμενοι. οἱ δὲ Ἀθηναῖοι προκατειλημμένοι χωρίον καὶ φύσει καρτερόν, καὶ βελῶν τε πλήθη καὶ τῶν ἄλλων τῶν χρησίμων πολλὴν ἔχοντες ἀφθονίαν, ἐκθύμως ἠμύνοντο· ἤλπιζον γὰρ κρατήσαντες τῆς ἐπιβολῆς πάντα τὸν πόλεμον περιαγαγεῖν εἰς τὴν Πελοπόννησον καὶ δῃώσειν ἀνὰ μέρος τὴν χώραν τῶν πολεμίων.*

62. Τῆς δὲ πολιορκίας ἀνυπέρβλητον τὴν σπουδὴν ἐχούσης παρ' ἀμφοτέροις, καὶ τῶν Σπαρτιατῶν βίαν προσαγόντων τοῖς τείχεσι, πολλοὶ μὲν ἄλλοι κατὰ τὰς ἀνδραγαθίας
2 *ἐθαυμάσθησαν, μεγίστης δὲ ἀποδοχῆς ἔτυχε Βρασίδας. τῶν γὰρ τριηράρχων οὐ τολμώντων προσαγαγεῖν τῇ γῇ τὰς τριήρεις διὰ τὴν χαλεπότητα τῶν τόπων, τριήραρχος ὢν ἐβόα καὶ παρεκελεύετο τῷ κυβερνήτῃ μὴ φείδεσθαι τοῦ σκάφους, ἀλλὰ καὶ βίᾳ προσάγειν τῇ γῇ τὴν τριήρη· αἰσχρὸν γὰρ εἶναι τοῖς Σπαρτιάταις τῆς μὲν ψυχῆς ἀφειδεῖν ἕνεκα τῆς νίκης, τῶν δὲ σκαφῶν φείδεσθαι καὶ περιορᾶν Ἀθηναί-*
3 *ους κρατοῦντας τῆς Λακωνικῆς. τέλος δὲ συναναγκάσαντος τὸν κυβερνήτην προσαγαγεῖν τὴν ναῦν, ἡ μὲν τριήρης ἐπώκειλεν, ὁ δὲ Βρασίδας ἐπιβὰς ἐπὶ τὴν τῆς νεὼς ἐπιβάθραν ἐκ ταύτης ἠμύνατο τὸ πλῆθος τῶν ἐπ' αὐτὸν συνδραμόντων Ἀθηναίων. καὶ τὸ μὲν πρῶτον τοὺς προσιόντας πολλοὺς ἀπέκτεινε, μετὰ δὲ ταῦτα πολλῶν ἐπ' αὐτὸν ἐπιφερομένων*
4 *βελῶν πολλοῖς περιέπιπτεν ἐναντίοις τραύμασι. τέλος δὲ διὰ τῶν τραυμάτων αἵματος ἐκχυθέντος πολλοῦ, καὶ διὰ τοῦτο λιποψυχήσαντος αὐτοῦ, ὁ μὲν βραχίων προέπεσεν ἐκ τῆς νεώς, ἡ δ' ἀσπὶς περιρρυεῖσα καὶ πεσοῦσα εἰς τὴν θάλατταν*
5 *ὑποχείριος ἐγένετο τοῖς πολεμίοις. μετὰ δὲ ταῦτα οὗτος μὲν*

πού δέχονταν ἀπό τό ὕψος τῶν τειχῶν, δέν ἐμείωναν τή μαχητική τους ὁρμή. Γι' αὐτό πολλοί ἀπ' αὐτούς φονεύονταν κι ὄχι λίγοι κατατραματίζονταν, καθώς ἐπιχειροῦσαν νά καταλάβουν ἕναν τόπο ὀχυρό. 6. Οἱ Ἀθηναῖοι πού κατεῖχαν ἕνα φρούριο πού ἀποτελοῦσε καί φυσικό ὀχυρό καί εἶχαν ἐφοδιασθῆ, μέ ἄφθονα βέλη κι ὅλα τά χρειώδη γιά τήν περίσταση, ὑπεράσπιζαν τό ὀχυρό μέ πάθος. Γιατί ἤλπιζαν, ἄν πετύχαινε τό σχέδιό τους, νά μεταφέρουν ὅλον τόν πόλεμο στήν Πελοπόννησο καί νά λεηλατήσουν σπιθαμή πρός σπιθαμή τή χώρα τῶν ἐχθρῶν.

62.

Καί οἱ δυό πλευρές ἐπέδειξαν ἀπαράμιλλη ἐνεργητικότητα κατά τήν πολιορκία. Καί κατά τίς ἐπιθέσεις τῶν Σπαρτιατῶν ἐναντίον τοῦ τείχους πολλοί θαυμάσθηκαν γιά τήν ἀνδραγαθία τους, ἀλλά περισσότερο ἀπ' ὅλους ὁ Βρασίδας. 2. Γιατί ὅταν οἱ τριήραρχοι δέν τολμοῦσαν νά προσεγγίσουν τά πλοῖα στή στεριά, γιατί οἱ ἀκτές ἐκεῖ ἦταν βραχώδεις, αὐτός πού ἦταν τριήραχος κι ὁ ἴδιος, ἐφώναξε καί πρόσταξε τόν κυβερνήτη νά μή λυπηθῆ τό σκάφος, ἀλλά ὅπως-ὅπως νά τό ὁδηγήση στή στεριά. Γιατί εἶναι ντροπή, φώναξε, γιά τούς Σπαρτιάτες νά ἀψηφοῦν τή ζωή τους γιά νά νικήσουν καί νά λυποῦνται τά σκάφη καί νά ὑπομένουν νά βλέπουν τούς Ἀθηναίους νά κυριεύουν τή γῆ τῆς Λακωνίας. 3. Καί τελικά ἀνάγκασε τόν κυβερνήτη νά ὁδηγήση ἔξω τό πλοῖο, κι ὅταν ἡ τριήρης χτύπησε τή στεριά, ὁ Βρασίδας, ὄρθιος στό κατάστρωμα, μαχόταν μ' ἕνα πλῆθος Ἀθηναίων, πού εἶχαν ὁρμήσει ἐπάνω του. Στήν ἀρχή σκότωσε πολλούς, καθώς ἔρχονταν καταπάνω του, ἔπειτα ὅμως καθώς τά βέλη κατευθύνονταν βροχή πρός αὐτόν, δέχθηκε πολλά τραύματα ἀπό τόν ἐχθρό. 4. Στό τέλος, ἀπό τό πολύ αἷμα πού χύθηκε ἀπό τά τραύματά του, λιποθύμησε καί τό μπράτσο του κρεμάστηκε στό πλευρό τοῦ πλοίου, ἐνῶ ἡ ἀσπίδα γλίστρησε κι ἔπεσε στή θάλασσα, ἀπό ὅπου περιῆλθε στά χέρια τῶν ἐχθρῶν. 5. Ὕστερα ἀπ' αὐτό ὁ Βρασίδας, πού

πολλοὺς τῶν πολεμίων νεκροὺς σωρεύσας αὐτὸς ἡμιθανὴς ἐκ τῆς νεὼς ὑπὸ τῶν ἰδίων ἀπηνέχθη, τοσοῦτον τοὺς ἄλλους ὑπερβαλόμενος ἀνδρείᾳ, ὥστε τῶν ἄλλων τοὺς ἀποβαλόντας τὴν ἀσπίδα θανάτῳ κολάζεσθαι, τοῦτον δ᾽ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ ἀπενέγκασθαι δόξαν.

6 *Οἱ μὲν οὖν Λακεδαιμόνιοι συνεχεῖς προσβολὰς ποιού-*
μενοι τῇ Πύλῳ, καὶ πολλοὺς ἀποβαλόντες στρατιώτας, ἔμε-
νον καρτερῶς ἐν τοῖς δεινοῖς. θαυμάσαι δ᾽ ἄν τις τῆς τύχης
τὸ παράδοξον καὶ τὴν ἰδιότητα τῆς περὶ τὴν Πύλον διαθέ-
7 *σεως. Ἀθηναῖοι μὲν γὰρ ἐκ τῆς Λακωνικῆς ἀμυνόμενοι τοὺς*
Σπαρτιάτας ἐκράτουν, Λακεδαιμόνιοι δὲ τὴν ἰδίαν χώραν πολεμίαν ἔχοντες ἐκ τῆς θαλάττης προσέβαλλον τοῖς πολεμίοις, καὶ τοῖς μὲν πεζῇ κρατοῦσι θαλαττοκρατεῖν συνέβαινε, τοῖς δὲ κατὰ θάλατταν πρωτεύουσι τῆς γῆς ἀπείργειν τοὺς πολεμίους.

63. Χρονιζούσης δὲ τῆς πολιορκίας, καὶ τῶν Ἀθηναίων
ταῖς ναυσὶν ἐπικρατησάντων καὶ σῖτον εἰς τὴν γῆν εἰσκομίζειν
κωλυόντων, ἐκινδύνευον οἱ κατειλημμένοι ἐν τῇ νήσῳ τῷ
2 *λιμῷ διαφθαρῆναι. διόπερ οἱ Λακεδαιμόνιοι φοβηθέντες περὶ*
τῶν ἀπειλημμένων ἐν τῇ νήσῳ, πρεσβείας ἀπέστειλαν εἰς τὰς Ἀθήνας περὶ τῆς καταλύσεως τοῦ πολέμου· οὐ συγκατατιθεμένων δ᾽ αὐτῶν ἠξίουν ἀλλαγὴν ποιήσασθαι τῶν ἀνδρῶν καὶ λαβεῖν τοὺς ἴσους τῶν Ἀθηναίων τῶν ἑαλωκότων· ἀλλ᾽ οὐδὲ τοῦτο συνεχώρησαν οἱ Ἀθηναῖοι. διόπερ οἱ πρέσβεις παρρησίαν ἤγαγον ἐν ταῖς Ἀθήναις ὡς ὁμολογοῦσι Λακεδαιμονίους κρείττους εἶναι, μὴ βουλόμενοι τὴν ἀντίδοσιν τῶν αἰχμαλώτων
3 *ποιήσασθαι. οἱ δ᾽ Ἀθηναῖοι τῇ σπάνει τῶν ἀναγκαίων κατα-*

εἶχε κάνει σωρό τά πτώματα τῶν ἐχθρῶν του, μεταφέρθηκε ἀπό τό πλοῖο ἡμιθανής στά χέρια τῶν συμπολεμιστῶν του, ἀφοῦ ξεπέρασε τούς ἄλλους κατά τήν ἀνδρεία σέ τέτοιο βαθμό, πού ἐνῶ οἱ ἄλλοι, ὅταν χάσουν τήν ἀσπίδα τους τιμωροῦνται μέ θάνατο, αὐτός γιά τήν ἴδια αἰτία ἔγινε ἔνδοξος.

6. Οἱ Λακεδαιμόνιοι, ἄν καί ἐνεργοῦσαν ἀλλεπάλληλες ἐπιθέσεις ἐναντίον τῆς Πύλου κι ἔχασαν πολλούς στρατιῶτες, ὑπέμεναν σταθερά ὅλα τά δεινά τῶν ἄγριων μαχῶν. Ἀξίζει νά θαυμάση κανείς τά παράδοξα τῆς τύχης καί τόν ἰδιάζοντα χαρακτήρα της, με τόν ὁποῖο παρουσιάσθηκε στήν περίπτωση τῆς Πύλου. 7. Οἱ Ἀθηναῖοι δηλ. πού ἀμύνονταν ἀπό μιά βάση στό Λακωνικό ἔδαφος νικοῦσαν τούς Σπαρτιάτες, ἐνῶ οἱ Λακεδαιμόνιοι ἀντιμετωπίζοντας τή χώρα τους τρόπον τινά ὡς ἐχθρικό ἔδαφος ἐνεργοῦσαν ἐπιθέσεις ἐναντίον τῶν ἐχθρῶν μέ ὁρμητήριο τή θάλασσα, καί συνέβαινε αὐτοί πού ἦταν κύριοι τῆς στεριᾶς, στήν προκειμένη περίπτωση, νά ἐλέγχουν τή θάλασσα, κι αὐτοί πού εἶχαν τήν πρώτη θέση στή θάλασσα νά ἐμποδίζουν τόν ἐχθρό νά πατήση τή στεριά.

63.

Ἐπειδή ἡ πολιορκία ἐχρόνιζε, κι οἱ Ἀθηναῖοι πού κυριάρχησαν μέ τό στόλο τους ἐμπόδιζαν τούς Λακεδαιμονίους νά μεταφέρουν στήν νῆσο τρόφιμα, ἐκινδύνευαν νά πεθάνουν ἀπό τήν πεῖνα αὐτοί πού ἦταν ἀποκλεισμένοι στό νησί. 2. Γι᾽ αὐτό οἱ Λακεδαιμόνιοι, φοβούμενοι γιά τήν τύχη αὐτῶν τῶν ἀνθρώπων, ἔστειλαν πρέσβεις στήν Ἀθήνα μέ προτάσεις γιά τόν τερματισμό τοῦ πολέμου. Κι ὅταν οἱ Ἀθηναῖοι ἀπέρριψαν τίς προτάσεις τους, ζητοῦσαν ν᾽ ἀνταλλάξουν τούς ἀποκλεισμένους μέ ἰσάριθμους Ἀθηναίους αἰχμαλώτους. Ἀλλά κι αὐτήν τήν πρόταση τήν ἀπέρριψαν οἱ Ἀθηναῖοι. Γι᾽ αὐτό οἱ πρέσβεις δήλωσαν ἀνοιχτά στήν Ἀθήνα, ὅτι μέ τήν ἄρνησή τους νά δεχθοῦν τήν ἀνταλλαγή τῶν αἰχμαλώτων οἱ Ἀθηναῖοι ὁμολογοῦν, ὅτι οἱ Λακεδαιμόνιοι εἶναι ἀνώτεροι ἀπ᾽ αὐτούς. 3. Στό μεταξύ οἱ Ἀθηναῖοι κατέβαλαν μέ τόν ἀποκλεισμό

πονήσαντες τοὺς ἐν τῇ Σφακτηρίᾳ παρέλαβον αὐτοὺς καθ' ὁμολογίαν. ἦσαν δ' οἱ παραδόντες αὑτοὺς Σπαρτιᾶται μὲν
4 *ἑκατὸν εἴκοσι, τῶν δὲ συμμάχων ἑκατὸν ὀγδοήκοντα. οὗτοι μὲν οὖν ὑπὸ Κλέωνος τοῦ δημαγωγοῦ στρατηγοῦντος τότε δεθέντες ἤχθησαν εἰς τὰς Ἀθήνας· ὁ δὲ δῆμος ἐψηφίσατο αὐτοὺς φυλάττειν, ἐὰν βούλωνται Λακεδαιμόνιοι λῦσαι τὸν πόλεμον, ἐὰν δὲ προκρίνωσι τὸ πολεμεῖν, τότε πάντας τοὺς*
5 *αἰχμαλώτους ἀποκτεῖναι. μετὰ δὲ ταῦτα τῶν ἐν Ναυπάκτῳ κατῳκισμένων Μεσσηνίων μεταπεμψάμενοι τοὺς ἀρίστους καὶ τῶν ἄλλων συμμάχων τοὺς ἱκανοὺς προσθέντες, τούτοις παρέδωκαν τὴν Πύλον φρουρεῖν· ἐνόμιζον γὰρ τοὺς Μεσσηνίους διὰ τὸ πρὸς τοὺς Σπαρτιάτας μῖσος ἐκθυμότατα κακοποιήσειν τὴν Λακωνικήν, ὁρμωμένους ἐξ ὀχυροῦ χωρίου.*

Καὶ τὰ μὲν κατὰ τὴν Πύλον ἐν τούτοις ἦν.

64. Ἀρταξέρξης δ' ὁ τῶν Περσῶν βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη τετταράκοντα, τὴν δ' ἀρχὴν διαδεξάμενος Ξέρξης ἐβασίλευσεν ἐνιαυτόν.

Κατὰ δὲ τὴν Ἰταλίαν Αἴκλων ἀποστάντων ἀπὸ Ῥωμαίων κατὰ τὸν πόλεμον αὐτοκράτορα μὲν Αὖλον Ποστούμιον,
2 *ἵππαρχον δὲ Λεύκιον Ἰούλιον ἐποίησαν. οὗτοι δὲ μετὰ πολλῆς δυνάμεως ἀξιολόγου στρατεύσαντες εἰς τὴν τῶν ἀφεστηκότων χώραν τὸ μὲν πρῶτον τὰς κτήσεις ἐπόρθησαν, μετὰ δὲ ταῦτα Αἴκλων ἀντιταχθέντων ἐγένετο μάχη, καθ' ἣν ἐνίκησαν οἱ Ῥωμαῖοι, καὶ πολλοὺς μὲν τῶν πολεμίων ἀνεῖλον, οὐκ ὀλίγους δ' ἐζώγρησαν, λαφύρων δὲ πολλῶν*
3 *ἐκυρίευσαν. μετὰ δὲ τὴν μάχην οἱ μὲν ἀφεστηκότες διὰ τὴν ἧτταν καταπεπληγμένοι τοῖς Ῥωμαίοις ὑπετάγησαν, ὁ δὲ Ποστούμιος δόξας καλῶς διῳκηκέναι τὰ κατὰ τὸν πόλεμον, κατήγαγε τὸν εἰωθότα θρίαμβον. ἴδιον δέ τι καὶ παντελῶς ἄπιστόν φασι πρᾶξαι τὸν Ποστούμιον· κατὰ γὰρ τὴν μάχην*

τούς Σπαρτιάτες πού ἦταν στή Σφακτηρία καί τούς ἀνάγκασαν νά συνθηκολογήσουν. Ἀπό τούς παραδοθέντες ἦταν ἑκατόν εἴκοσι Σπαρτιάτες καί ἑκατόν ὀγδόντα ἀπό τούς συμμάχους τους. 4. Ὅλοι αὐτοί μεταφέρθηκαν δεμένοι στήν Ἀθήνα ἀπό τόν Κλέωνα τό δημαγωγό, πού ἦταν τότε στρατηγός. Κι ὁ λαός ἀποφάσισε νά τούς φυλάξουν στήν περίπτωση πού οἱ Λακεδαιμόνιοι δεχθοῦν νά τερματίσουν τόν πόλεμο. Ἄν ὅμως ἀποφασίσουν νά τόν συνεχίσουν, τότε νά σκοτώσουν ὅλους τούς αἰχμαλώτους. 5. Ὕστερα ἀπ' αὐτά κάλεσαν τούς πιό διαλεχτούς ἀπό τούς Μεσσηνίους πού ἦταν ἐγκατεστημένοι στή Ναύπακτο κι ἀφοῦ πρόσθεσαν σ' αὐτούς καί μιά ἀξιόλογη συμμαχική δύναμη, τούς παρέδωσαν τήν Πύλο γιά νά τήν φρουροῦν. Γιατί πίστευαν, ὅτι οἱ Μεσσήνιοι ἀπό τό μῖσος τους πρός τούς Σπαρτιάτες θά εἶναι προθυμότατοι νά λυμαίνωνται τή Λακωνική μέ ὁρμητήριο ἕνα τόσο ἰσχυρό ὀχυρό. Αὐτά ὑπῆρξαν τά γεγονότα τῆς Πύλου.

64.

Ὁ Ἀρταξέρξης, ὁ βασιλιάς τῶν Περσῶν, πέθανε, ἀφοῦ βασίλεψε σαράντα χρόνια, κι ὁ διάδοχός του ὁ Ξέρξης βασίλεψε ἕνα χρόνο.

Στήν Ἰταλία, ὅταν οἱ Αἶκλοι ἀποστάτησαν ἀπό τούς Ρωμαίους, στόν πόλεμο πού ἐπακολούθησε ὁ Αὖλος Ποστούμιος ἔγινε δικτάτωρ καί ὁ Λεύκιος Ἰούλιος ὀνομάσθηκε Ἵππαρχος. 2. Αὐτοί μέ μιά μεγάλη καί ἰσχυρή δύναμη ἐξεστράτευσαν στή χώρα τῶν ἀποστατῶν καί στήν ἀρχή λεηλάτησαν τά νοικοκυριά τους, καί ὅταν ἀργότερα οἱ Αἶκλοι ἀντιτάχθηκαν, συνήφθη μάχη στήν ὁποία νίκησαν οἱ Ρωμαῖοι καί σκότωσαν πολλούς ἀντιπάλους, ὄχι καί λίγους ἔπιασαν αἰχμαλώτους, ἐνῶ ἐκυρίευσαν καί πολλά λάφυρα. 3. Μετά τή μάχη οἱ ἀποστάτες, τρομαγμένοι ἀπό τήν ἧττα τους, ὑποτάχθηκαν στούς Ρωμαίους κι ὁ Ποστούμιος πού κρίθηκε ὅτι κατηύθυνε τόν πόλεμο λαμπρά, κατήγαγε τόν καθιερωμένο θρίαμβο. Καί λένε ὅτι ὁ Ποστούμιος ἔκαμε κάτι τό ἰδιότυπο καί ἐντελῶς ἀπί-

τὸν υἱὸν αὐτοῦ διὰ τὴν προθυμίαν προεκπηδῆσαι τῆς ὑπὸ
τοῦ πατρὸς δεδομένης τάξεως· τὸν δὲ πατέρα τηροῦντα τὸ
πάτριον ἔθος τὸν υἱὸν ὡς λελοιπότα τὴν τάξιν ἀποκτεῖναι.

65. Τούτου δὲ τοῦ ἔτους διελθόντος Ἀθήνησι μὲν ἦν
ἄρχων Ἴσαρχος, ἐν δὲ τῇ Ῥώμῃ καθειστήκεσαν ὕπατοι Τί-
τος Κοΐντιος καὶ Γάιος Ἰούλιος, παρὰ δὲ Ἠλείοις Ὀλυμπιὰς
ἤχθη ἐνάτη καὶ ὀγδοηκοστή, καθ' ἣν ἐνίκα στάδιον Σύμ-
μαχος τὸ δεύτερον. ἐπὶ δὲ τούτων Ἀθηναῖοι στρατηγὸν κα-
ταστήσαντες Νικίαν τὸν Νικηράτου, καὶ παραδόντες αὐτῷ
τριήρεις μὲν ἑξήκοντα, ὁπλίτας δὲ τρισχιλίους, προσέταξαν
2 πορθῆσαι τοὺς Λακεδαιμονίων συμμάχους. οὗτος δ' ἐπὶ
πρώτην τὴν Μῆλον πλεύσας τήν τε χώραν ἐδῄωσε καὶ τὴν
πόλιν ἐφ' ἱκανὰς ἡμέρας ἐπολιόρκησεν· αὕτη γὰρ μόνη τῶν
Κυκλάδων νήσων διεφύλαττε τὴν πρὸς Λακεδαιμονίους
3 συμμαχίαν, ἄποικος οὖσα τῆς Σπάρτης. ὁ δὲ Νικίας, γεν-
ναίως ἀμυνομένων τῶν Μηλίων οὐ δυνάμενος ἑλεῖν τὴν πό-
λιν, ἀπέπλευσεν εἰς Ὠρωπὸν τῆς Βοιωτίας. ἐνταῦθα δὲ τὰς
ναῦς ἀπολιπὼν παρῆλθεν εἰς τὴν τῶν Ταναγραίων χώραν
μετὰ τῶν ὁπλιτῶν, καὶ κατέλαβεν ἐνταῦθα δύναμιν ἑτέραν
4 Ἀθηναίων, ἧς ἐστρατήγει Ἱππόνικος ὁ Καλλίου. συνελθόν-
των δὲ εἰς ταὐτὸ τῶν στρατοπέδων ἀμφοτέρων, οὗτοι μὲν
ἐπεπορεύοντο τὴν χώραν πορθοῦντες, τῶν δὲ Θηβαίων
ἐκβοηθούντων συνάψαντες αὐτοῖς μάχην οἱ Ἀθηναῖοι καὶ
πολλοὺς ἀνελόντες ἐνίκησαν.
5 Μετὰ δὲ τὴν μάχην οἱ μεθ' Ἱππονίκου στρατιῶται τὴν εἰς
Ἀθήνας ἐπάνοδον ἐποιήσαντο, Νικίας δὲ παρελθὼν ἐπὶ τὰς
ναῦς παρέπλευσεν ἐπὶ τὴν Λοκρίδα, καὶ τὴν παραθαλάττιον
χώραν πορθήσας προσελάβετο παρὰ τῶν συμμάχων τριή-
ρεις τετταράκοντα, ὥστε τὰς πάσας ἔχειν αὐτὸν ναῦς ἑκα-
τόν· καταλέξας δὲ καὶ πεζοὺς στρατιώτας οὐκ ὀλίγους, καὶ
δύναμιν ἀξιόλογον συστησάμενος, ἔπλευσεν ἐπὶ τὴν Κό-

στευτο. Κατά τή μάχη δηλ. ὁ γυιός του ἀπό τό πολεμικό μένος πήδησε μπροστά ἀπό τή θέση πού τοῦ καθόρισε ὁ πατέρας του. Κι ὁ πατέρας του, σεβόμενος τό πατροπαράδοτο ἔθιμο, ἐκτέλεσε τό γυιό του, γιατί ἐγκατέλειψε τή θέση του.

65.

Ὅταν πέρασε αὐτή ἡ χρονιά, στήν Ἀθήνα ἔγινε ἄρχων ὁ Ἴσαρχος, στή Ρώμη ἀναδείχθηκαν ὕπατοι ὁ Τίτος Κοΐντιος καί ὁ Γάιος Ἰούλιος, κι οἱ Ἠλεῖοι ὀργάνωσαν τήν ὀγδοηκοστή ἐνάτη Ὀλυμπιάδα, στήν ὁποία νίκησε γιά δεύτερη φορά στόν ἀγώνα δρόμου ἑνός σταδίου ὁ Σύμμαχος. Αὐτήν τή χρονιά οἱ Ἀθηναῖοι διόρισαν στρατηγό τό Νικία, γυιό τοῦ Νικηράτου, κι ἀφοῦ τοῦ παρέδωσαν ἑξήντα τριήρεις καί τρεῖς χιλιάδες ὁπλίτες τόν διέταξαν νά συντρίψη τούς συμμάχους τῶν Λακεδαιμονίων. 2. Ὁ Νικίας ἔπλευσε πρῶτα-πρῶτα στή Μῆλο καί λεηλάτησε τήν ὕπαιθρο, ἐνῶ ἐπολιόρκησε τήν πόλη ἐπί ἀρκετές ἡμέρες. Γιατί ἡ Μῆλος ἦταν ἡ μόνη ἀπό τίς Κυκλάδες πού ἐπέμενε στή συμμαχία της μέ τούς Λακεδαιμονίους, γιατί ἦταν ἀποικία τῆς Σπάρτης. 3. Ὁ Νικίας, ἐπειδή δέν μποροῦσε νά κυριεύση τήν πόλη, πού τήν ὑπεράσπιζαν γενναῖα οἱ Μήλιοι, ἀπέπλευσε στόν Ὠρωπό τῆς Βοιωτίας. Ἀφίνοντας ἐκεῖ τά πλοῖα προχώρησε μέ τούς ὁπλίτες στή χώρα τῶν Ταναγραίων, ὅπου συνάντησε ἄλλη δύναμη τῶν Ἀθηναίων μέ στρατηγό τόν Ἱππόνικο, τό γυιό τοῦ Καλλία. 4. Ὅταν οἱ δυό στρατοί ἑνώθηκαν, οἱ στρατηγοί διέτρεχαν καί λεηλατοῦσαν τή χώρα καί ὅταν οἱ Θηβαῖοι ἔσπευσαν νά τούς ἀντιμετωπίσουν, συνήφθη μάχη, στήν ὁποία νίκησαν οἱ Ἀθηναῖοι καί σκότωσαν πολλούς.

5. Μετά τή μάχη οἱ στρατιῶτες τοῦ Ἱππονίκου ἐπανῆλθαν στήν Ἀθήνα, ἀλλά ὁ Νικίας ἐπιστρέφοντας στά πλοῖα του ἔπλευσε κατά μῆκος τῶν ἀκτῶν τῆς Λοκρίδας καί, ἀφοῦ ἐλεηλάτησε τήν παραθαλάσσια περιοχή, πῆρε ἀπό τούς συμμάχους του σαράντα τριήρεις, ὥστε εἶχε συνολικά τώρα ἑκατό πλοῖα. Στρατολόγησε ἐπίσης καί πεζούς ὄχι καί λίγους κι ἀφοῦ συγκρότησε μιά ἀξιόλογη δύναμη, ἔπλευσε ἐναντίον τῆς Κο-

6 *ρινθον. ἀποβιβάσαντος δ' αὐτοῦ τοὺς στρατιώτας, καὶ τῶν*
Κορινθίων ἀντιταχθέντων, οἱ Ἀθηναῖοι δυσὶ μάχαις ἐνίκη-
σαν καὶ πολλοὺς τῶν πολεμίων ἀνελόντες τρόπαιον ἔστη-
σαν. ἐτελεύτησαν δ' ἐν τῇ μάχῃ τῶν Ἀθηναίων εἰς ὀκτώ, τῶν
7 *δὲ Κορινθίων πλείους τῶν τριακοσίων. ὁ δὲ Νικίας πλεύσας*
εἰς Κρομμυῶνα τήν τε χώραν ἐδῄωσε καὶ τὸ φρούριον ἐχει-
ρώσατο. εὐθὺς δ' ἐπαναζεύξας καὶ τειχίσας φρούριον ἐν τῇ
Μεθώνῃ, φυλακὴν κατέλιπε τὴν τὸ χωρίον ἅμα φυλάξουσαν
καὶ τὴν ἐγγὺς χώραν δῃώσουσαν· αὐτὸς δὲ τὴν παραθα-
λάττιον πορθήσας ἐπανῆλθεν εἰς τὰς Ἀθήνας.
8 *Μετὰ δὲ ταῦτα ἐπὶ Κύθηρα ναῦς ἀπέστειλαν ἑξήκοντα*
καὶ δισχιλίους ὁπλίτας, ὧν εἶχε τὴν στρατηγίαν Νικίας μετ'
ἄλλων τινῶν. οὗτος δὲ στρατεύσας ἐπὶ τὴν νῆσον καὶ προσ-
βολὰς ποιησάμενος παρέλαβε τὴν πόλιν καθ' ὁμολογίαν. ἐν
δὲ τῇ νήσῳ καταλιπὼν φρουρὰν ἐξέπλευσεν εἰς τὴν Πελο-
9 *πόννησον καὶ τὴν παραθαλάττιον χώραν ἐδῄωσε. καὶ Θυ-*
ρέας μὲν κειμένας ἐν τοῖς μεθορίοις τῆς Λακωνικῆς καὶ τῆς
Ἀργείας ἐκπολιορκήσας ἐξηνδραποδίσατο καὶ κατέσκαψε,
τοὺς δ' ἐν αὐτῇ κατοικοῦντας Αἰγινήτας καὶ τὸν φρούραρ-
χον Τάνταλον Σπαρτιάτην ζωγρήσας ἀπήγαγεν εἰς τὰς
Ἀθήνας. οἱ δὲ Ἀθηναῖοι τὸν μὲν Τάνταλον δήσαντες ἐφύ-
λαττον μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ τοὺς Αἰγινήτας.
66. Ἅμα δὲ τούτοις πραττομένοις Μεγαρεῖς θλιβόμενοι
τῷ πολέμῳ τῷ πρὸς τοὺς Ἀθηναίους καὶ τῷ πρὸς τοὺς φυ-
γάδας… διαπρεσβευομένων δὲ πρὸς ἀλλήλους περὶ τού-
των, τῶν πολιτῶν τινες ἀλλοτρίως ἔχοντες πρὸς τοὺς φυγά-
δας ἐπηγγείλαντο πρὸς τοὺς Ἀθηναίων στρατηγοὺς
2 *προδώσειν τὴν πόλιν. οἱ δὲ στρατηγοί, Ἱπποκράτης τε καὶ*
Δημοσθένης, συνθέμενοι περὶ τῆς προδοσίας, ἐξέπεμψαν

ρίνθου. 6. Ἀποβίβασε ἐκεῖ τούς στρατιῶτες κι ὅταν οἱ Κορίνθιοι ἀντιτάχθηκαν, οἱ Ἀθηναῖοι νίκησαν σέ δύο μάχες, σκότωσαν πολλούς κι ἔστησαν τρόπαιο. Ἀπό τούς Ἀθηναίους σκοτώθηκαν στή μάχη κάπου ὀκτώ, ἐνῶ ἀπό τούς Κορινθίους σκοτώθηκαν περισσότεροι ἀπό τριακόσιους. 7. Ὁ Νικίας τότε ἔπλευσε στόν Κρομμυῶνα[49], λεηλάτησε τή χώρα καί κατέλαβε τό φρούριο. Ἀμέσως ἀναχώρησε ἀπό ἐκεῖ καί ὀχύρωσε ἕνα φρούριο στή Μεθώνη[50], στό ὁποῖο ἐγκατέστησε φρουρά, γιά νά φρουρῆ τό ὀχυρό καί νά λεηλατῆ τά περίχωρα. Κι ὁ ἴδιος λεηλάτησε τά παραθαλάσσια ἐδάφη κι ἐπανῆλθε στήν Ἀθήνα.

8. Μετά ἀπό αὐτά τά γεγονότα, οἱ Ἀθηναῖοι ἔστειλαν στά Κύθηρα ἑξήντα πλοῖα καί δυό χιλιάδες ὁπλίτες μέ ἐπικεφαλῆς τό Νικία καί μερικούς ἄλλους. Ὁ Νικίας ἐξεστράτευσε ἐναντίον τῆς νήσου, ἐνήργησε ἐπιθέσεις καί παρέλαβε τήν πόλη μέ συνθηκολόγηση. Ἄφησε φρουρά στή νῆσο κι ἐξέπλευσε στήν Πελοπόννησο καί λεηλάτησε τήν παραθαλάσσια περιοχή. 9. Καί τίς Θυρέες, πού βρίσκονται στά μεθόρια τῆς Λακωνίας καί τῆς Ἀργολίδος, τίς κατέλαβε μέ πολιορκία, ἐξανδραπόδισε τούς κατοίκους καί κατέσκαψε τήν πόλη καί τούς Αἰγινῆτες πού κατοικοῦσαν σ' αὐτήν καί τόν φρούραρχο τῆς πόλεως τόν Τάνταλο τό Σπαρτιάτη τούς ἔπιασε ζωντανούς καί τούς ἔφερε στήν Ἀθήνα. Οἱ Ἀθηναῖοι ἔδεσαν τόν Τάνταλο καί τόν φρουροῦσαν μαζί μέ τούς ἄλλους αἰχμαλώτους καί τούς Αἰγινῆτες.

66.

Ἐνῶ συνέβαιναν αὐτά τά γεγονότα, οἱ Μεγαρεῖς ὑπέφεραν ἀπό τόν πόλεμο μέ τούς Ἀθηναίους ἀπό τό ἕνα μέρος κι ἀπό τούς φυγάδες ἀπό τό ἄλλο. Κι ἐνῶ συσκέπτονταν μεταξύ τους γιά τούς φυγάδες, μερικοί ἀπό τούς πολίτες, πού εἶχαν ἐχθρικές διαθέσεις πρός τούς φυγάδες, ὑποσχέθηκαν στούς Ἀθηναίους στρατηγούς νά τούς παραδώσουν τήν πόλη. 2. Οἱ στρατηγοί, ὁ Ἱπποκράτης κι ὁ Δημοσθένης, συμφώνησαν γιά τήν

49. Στή Μεγαρίδα.
50. Πρόκειται γιά τά Μέθανα τῆς Ἀργολίδος.

νυκτὸς στρατιώτας ἑξακοσίους εἰς τὴν πόλιν, καὶ οἱ συνθέμενοι παρεδέξαντο τοὺς Ἀθηναίους ἐντὸς τειχῶν. καταφανοῦς δὲ τῆς προδοσίας γενομένης κατὰ τὴν πόλιν, καὶ τοῦ πλήθους σχιζομένου κατὰ τὴν αἵρεσιν, καὶ τῶν μὲν συμμαχούντων τοῖς Ἀθηναίοις, τῶν δὲ βοηθούντων τοῖς Λακεδαιμονίοις, ἐκήρυξέ τις ἀφ' ἑαυτοῦ τοὺς βουλομένους τίθε-
3 *σθαι τὰ ὅπλα μετὰ Ἀθηναίων καὶ Μεγαρέων. διόπερ τῶν Λακεδαιμονίων ἐγκαταλείπεσθαι μελλόντων ὑπὸ τῶν Μεγαρέων, συνέβη τοὺς φρουροῦντας τὰ μακρὰ τείχη καταλιπεῖν, εἰς δὲ τὴν καλουμένην Νίσαιαν, ἥπερ ἐστὶν ἐπίνειον*
4 *τῶν Μεγαρέων, καταφυγεῖν. περιταφρεύσαντες δὲ αὐτὴν οἱ Ἀθηναῖοι ἐπολιόρκουν· μετὰ δὲ ταῦτα ἐκ τῶν Ἀθηνῶν τεχνίτας προσλαβόμενοι περιετείχισαν τὴν Νίσαιαν. οἱ δὲ Πελοποννήσιοι φοβούμενοι μὴ κατὰ κράτος ἁλόντες ἀναιρεθῶσι, παρέδοσαν τὴν Νίσαιαν τοῖς Ἀθηναίοις καθ' ὁμολογίαν.*

Καὶ τὰ μὲν κατὰ τοὺς Μεγαρέας ἐν τούτοις ἦν.

67. Βρασίδας δὲ δύναμιν ἱκανὴν ἀναλαβὼν ἔκ τε Λακεδαίμονος καὶ παρὰ τῶν ἄλλων Πελοποννησίων ἀνέζευξεν ἐπὶ Μέγαρα. καταπληξάμενος δὲ τοὺς Ἀθηναίους, τούτους μὲν ἐξέβαλεν ἐκ τῆς Νισαίας, τὴν δὲ πόλιν τῶν Μεγαρέων ἐλευθερώσας ἀποκατέστησεν εἰς τὴν τῶν Λακεδαιμονίων συμμαχίαν· αὐτὸς δὲ μετὰ τῆς δυνάμεως διὰ Θετταλίας τὴν πορείαν ποιησάμενος ἧκεν εἰς Δῖον τῆς Μακεδονίας. ἐκεῖθεν δὲ πα-
2 *ρελθὼν εἰς Ἄκανθον συνεμάχησε τοῖς Χαλκιδεῦσι. καὶ πρώτην μὲν τὴν Ἀκανθίων πόλιν τὰ μὲν καταπληξάμενος, τὰ δὲ καὶ λόγοις φιλανθρώποις πείσας ἐποίησεν ἀποστῆναι τῶν Ἀθηναίων· ἔπειτα πολλοὺς καὶ τῶν ἄλλων τῶν ἐπὶ Θράκης κατοικούντων προετρέψατο κοινωνεῖν τῆς τῶν Λακεδαιμονίων συμμαχίας.*

προδοσία κι ἔστειλαν τή νύχτα ἑξακόσιους στρατιῶτες στήν πόλη καί οἱ συνωμότες ἔμπασαν τούς Ἀθηναίους μέσα στά τείχη. Ὅταν ἡ προδοσία ἔγινε γνωστή στήν πόλη καί τό πλῆθος ἦταν διχασμένο ἀνάλογα μέ τή μερίδα στήν ὁποία ἀνῆκε, ἄλλοι δηλ. εὐνοοῦσαν τή συμμαχία μέ τούς Ἀθηναίους, ἐνῶ ἄλλοι βοηθοῦσαν τούς Λακεδαιμονίους, κάποιος μέ δική του πρωτοβουλία διακήρυξε, ὅτι ὅποιος θέλει μπορεῖ νά πάρη τά ὅπλα στό πλευρό τῶν Ἀθηναίων καί τῶν Μεγαρέων. 3. Γι' αὐτό, ὅταν οἱ Λακεδαιμόνιοι ἐπρόκειτο νά ἐγκαταλειφθοῦν ἀπό τούς Μεγαρεῖς, συνέβη ἡ φρουρά τῶν μακρῶν τειχῶν[51] νά τά ἐγκαταλείψη καί νά καταφύγη στή Νίσαια, πού εἶναι τό ἐπίνειο τῶν Μεγαρέων. 4. Οἱ Ἀθηναῖοι ἔσκαψαν μιά τάφρο γύρω ἀπό τή Νίσαια καί τήν πολιορκοῦσαν. Ἔπειτα ἔφεραν τεχνίτες ἀπό τήν Ἀθήνα καί περιτείχισαν τή Νίσαια. Οἱ Πελοποννήσιοι, ἀπό τό φόβο μήπως κυριευθοῦν ἐξ ἐφόδου καί θανατωθοῦν, παρέδωσαν μέ συνθήκη τή Νίσαια στούς Ἀθηναίους.

Ἔτσι εἶχαν τά πράγματα τῶν Μεγαρέων αὐτόν τόν καιρό.

67.

Ὁ Βρασίδας, ἐπικεφαλῆς μιᾶς σημαντικῆς δυνάμεως ἀπό τήν Λακεδαίμονα καί τίς ἄλλες Πελοποννησιακές πόλεις, βάδισε ἐναντίον τῶν Μεγάρων. Καί τρομοκρατώντας τούς Ἀθηναίους τούς ἔδιωξε ἀπό τή Νίσαια, ἐλευθέρωσε τήν πόλη τῶν Μεγαρέων κι ἀποκατέστησε τή συμμαχία μέ τούς Λακεδαιμονίους. Κι ὁ ἴδιος μέ τό στρατό ἐβάδισε διά μέσου τῆς Θεσσαλίας κι ἔφθασε στό Δῖο τῆς Μακεδονίας. 2. Ἀπό ἐκεῖ προχώρησε ἐναντίον τῆς Ἀκάνθου καί συμμάχησε μέ τούς Χαλκιδεῖς. Καί πρώτη τήν πόλη τῶν Ἀκανθίων ἀπό τό ἕνα μέρος μέ τήν τρομοκρατία κι ἀπό τό ἄλλο μέ μειλίχια καί πειστικά λόγια τήν κατάφερε νά ἀποστατήση ἀπό τούς Ἀθηναίους. Ἔπειτα παρότρυνε καί πολλούς ἀπό τούς ἄλλους λαούς τῆς Θράκης νά συμμαχήσουν μέ τούς Λακεδαιμονίους. 3. Μετά ὁ Βρασίδας

51. Τά τείχη πού συνέδεαν τά Μέγαρα μέ τό λιμάνι τους.

3 *μετὰ δὲ ταῦτα Βρασίδας βουλόμενος ἐνεργότερον ἅψα-*
σθαι τοῦ πολέμου, μετεπέμπετο στρατιώτας ἐκ τῆς Λακε-
δαίμονος, σπεύδων ἀξιόλογον συστήσασθαι δύναμιν· οἱ δὲ
Σπαρτιᾶται βουλόμενοι τῶν Εἱλώτων τοὺς κρατίστους ἀπο-
λέσθαι, πέμπουσιν ἐξ αὐτῶν τοὺς μάλιστα πεφρονηματι-
σμένους χιλίους, νομίζοντες ἐν ταῖς μάχαις τοὺς πλείστους
4 *αὐτῶν κατακοπήσεσθαι. ἔπραξαν δέ τι καὶ ἄλλο βίαιον καὶ*
ὠμόν, δι' οὗ ταπεινώσειν ὑπελάμβανον τοὺς Εἵλωτας· ἐκή-
ρυξαν γὰρ ἀπογράφεσθαι τῶν Εἱλώτων τοὺς ἀγαθόν τι πε-
ποιηκότας τῇ Σπάρτῃ, καὶ τούτους κρίναντες ἐλευθερώσειν
ἐπηγγείλαντο· ἀπογραψαμένων δὲ δισχιλίων, τούτους μὲν
προσέταξαν τοῖς κρατίστοις ἀποκτεῖναι κατ' οἶκον ἑκά-
5 *στου. σφόδρα γὰρ εὐλαβοῦντο μήποτε καιροῦ δραξάμενοι*
καὶ μετὰ τῶν πολεμίων ταχθέντες εἰς κίνδυνον ἀγάγωσι
τὴν Σπάρτην. οὐ μὴν ἀλλὰ τῷ Βρασίδᾳ παραγενομένων χι-
λίων Εἱλώτων, ἔκ τε συμμάχων στρατολογηθέντων συνέστη
δύναμις ἀξιόχρεως.

68. Διὸ καὶ θαρρήσας τῷ πλήθει τῶν στρατιωτῶν ἐστρά-
τευσεν ἐπὶ τὴν καλουμένην Ἀμφίπολιν. ταύτην δὲ τὴν πόλιν
πρότερον μὲν ἐπεχείρησεν οἰκίζειν Ἀρισταγόρας ὁ Μιλή-
2 *σιος, φεύγων Δαρεῖον τὸν βασιλέα τῶν Περσῶν· ἐκείνου δὲ*
τελευτήσαντος, καὶ τῶν οἰκητόρων ἐκπεσόντων ὑπὸ
Θρᾳκῶν τῶν ὀνομαζομένων Ἠδωνῶν, μετὰ ταῦτα ἔτεσι
δυσὶ πρὸς τοῖς τριάκοντα Ἀθηναῖοι μυρίους οἰκήτορας εἰς
αὐτὴν ἐξέπεμψαν. ὁμοίως δὲ καὶ τούτων ὑπὸ Θρᾳκῶν δια-
φθαρέντων περὶ Δράβησκον, διαλιπόντες ἔτη δύο πάλιν
3 *ἀνεκτήσαντο τὴν πόλιν Ἅγνωνος ἡγουμένου. περιμαχήτου*
δ' αὐτῆς πολλάκις γεγενημένης, ἔσπευδεν ὁ Βρασίδας κύ-
ριος γενέσθαι τῆς πόλεως. διὸ καὶ στρατεύσας ἐπ' αὐτὴν
ἀξιολόγῳ δυνάμει, καὶ στρατοπεδεύσας πλησίον τῆς γεφύ-

πού ἐπιθυμοῦσε νά ἐντείνη τήν πολεμική του δραστηριότητα, ἐζήτησε νά τοῦ στείλουν στρατιῶτες ἀπό τή Λακεδαίμονα, γιατί ἤθελε νά συγκροτήση ἰσχυρή στρατιωτική δύναμη. Οἱ Σπαρτιάτες, πού ἐπιδίωκαν ν' ἀφανίσουν τούς πιό ἰσχυρούς μεταξύ τῶν Εἱλώτων ἔστειλαν χίλιους ἀπ' αὐτούς, τούς πιό ψυχωμένους, ὑπολογίζοντας ὅτι οἱ περισσότεροι θά χαθοῦν στίς μάχες. 4. Διέπραξαν ἐπίσης καί μιά ἄλλη βίαιη καί ὠμή πράξη, μέ τήν ὁποία νόμιζαν ὅτι θά ταπεινώσουν τούς Εἵλωτες. Ἐκήρυξαν δηλ. δημόσια οἱ Εἵλωτες πού πρόσφεραν καλές ὑπηρεσίες στή Σπάρτη νά δώσουν τά ὀνόματά τους καί ὑποσχέθηκαν ὅτι θά τούς ἐλευθερώσουν, ἀφοῦ ἐλέγξουν τή δήλωσή τους. Κι ὅταν ἔδωσαν τά ὀνόματά τους δυό χιλιάδες Εἵλωτες, διέταξαν τούς πιό δυνατούς πολίτες νά τούς σκοτώσουν καθέναν στό σπίτι του. 5. Γιατί εἶχαν μεγάλο φόβο μήπως σέ δεδομένη εὐκαιρία ταχθοῦν μέ τόν ἐχθρό καί φέρουν τή Σπάρτη σέ κίνδυνο. Ὅταν λοιπόν ἔφθασαν στόν Βρασίδα χίλιοι Εἵλωτες καί ἄλλη ἐνίσχυση πού στρατολογήθηκε μεταξύ τῶν συμμάχων, συγκροτήθηκε μιά ἀξιόλογη δύναμη.

68.

Ὁ Βρασίδας ἐμπιστευόμενος στό πλῆθος τῶν στρατιωτῶν του, ἐξεστράτευσε ἐναντίον τῆς Ἀμφιπόλεως. Αὐτήν τήν πόλη ἐπεχείρησε νά τήν ἀποικίση ὁ Ἀρισταγόρας ὁ Μιλήσιος παλαιότερα, τότε πού καταδιωκόταν ἀπό τόν Δαρεῖο, τόν βασιλιά τῶν Περσῶν. 2. Μετά τό θάνατό του, οἱ ἄποικοι ἐκδιώχθηκαν ἀπό τούς Θρᾶκες, τούς λεγομένους Ἠδωνούς, καί τριάντα δύο χρόνια ἀργότερα οἱ Ἀθηναῖοι ἔστειλαν σ' αὐτήν δέκα χιλιάδες ἀποίκους. Ἀλλά κι αὐτοί ἀφανίσθηκαν κατά τόν ἴδιον τρόπο ἀπό τούς Θρᾶκες στόν Δράβισκο καί δυό χρόνια ἀργότερα οἱ Ἀθηναῖοι ἀνέκτησαν τήν πόλη μέ ἀρχηγό τόν Ἅγνωνα. 3. Καθώς λοιπόν ἔγινε πολλές φορές ἀντικείμενο διαμάχης, ὁ Βρασίδας ἔσπευδε νά τήν κυριεύση. Γι' αὐτό καί ὁδήγησε ἐναντίον της μιά ἰσχυρή δύναμη κι ἀφοῦ στρατοπέδευσε κοντά στή γέφυρα, κατέλαβε στήν ἀρχή τό προάστιο τῆς πόλεως καί τήν

ρας, τὸ μὲν πρῶτον εἷλε τὸ προάστειον τῆς πόλεως, τῇ δ' ὑστεραίᾳ καταπληξάμενος τοὺς Ἀμφιπολίτας παρέλαβε τὴν πόλιν καθ' ὁμολογίαν, ὥστ' ἐξεῖναι τῷ βουλομένῳ τὰ ἑαυτοῦ λαβόντα ἀπελθεῖν ἐκ τῆς πόλεως.

4 *Εὐθὺς δὲ καὶ τῶν πλησιοχώρων πόλεων πλείονας προ-*
σηγάγετο, ἐν αἷς ἦσαν ἀξιολογώταται Οἰσύμη καὶ Γαληψός,
ἀμφότεραι Θασίων ἄποικοι, καὶ Μύρκινον, Ἠδωνικὸν πο-
λισμάτιον. ἐπεβάλετο δὲ καὶ ναυπηγεῖσθαι τριήρεις πλείους
ἐπὶ τῷ Στρυμόνι ποταμῷ, καὶ στρατιώτας ἔκ τε Λακεδαίμο-
5 *νος καὶ παρὰ τῶν ἄλλων συμμάχων μετεπέμπετο. κατε-*
σκεύαζε δὲ καὶ πανοπλίας πολλάς, καὶ τοῖς ἀόπλοις τῶν
νέων ἀνεδίδου ταύτας, καὶ βελῶν καὶ σίτου καὶ τῶν ἄλλων
ἁπάντων παρασκευὰς ἐποιεῖτο. ὡς δ' αὐτῷ πάντα παρε-
σκεύαστο, ἀνέζευξεν ἐκ τῆς Ἀμφιπόλεως μετὰ τῆς δυνά-
μεως, καὶ παραγενόμενος εἰς τὴν καλουμένην Ἀκτὴν κατε-
στρατοπέδευσεν. ἐν ταύτῃ δ' ὑπῆρχον πέντε πόλεις, ὧν αἱ
μὲν Ἑλληνίδες ἦσαν, Ἀνδρίων ἄποικοι, αἱ δὲ εἶχον ὄχλον
6 *βαρβάρων διγλώττων Βισαλτικόν. ταύτας δὲ χειρωσάμε-*
νος ἐστράτευσεν ἐπὶ πόλιν Τορώνην, ἄποικον μὲν Χαλκι-
δέων, κατεχομένην δὲ ὑπ' Ἀθηναίων. προδιδόντων δέ τινων
τὴν πόλιν, ὑπὸ τούτων εἰσαχθεὶς νυκτὸς ἐκράτησε τῆς Το-
ρώνης ἄνευ κινδύνων.

Τὰ μὲν οὖν κατὰ τὸν Βρασίδαν μέχρι τούτου προέβη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

69. Ἅμα δὲ τούτοις πραττομένοις περὶ τὸ Δήλιον ἐγένετο παράταξις Ἀθηναίων πρὸς Βοιωτοὺς διὰ τοιαύτας τινὰς αἰτίας. τῶν Βοιωτῶν τινες δυσαρεστούμενοι τῇ τότε

ἑπομένη, πού εἶχε ἤδη τρομοκρατήσει τούς Ἀμφιπολίτες, παρέλαβε τήν πόλη μέ συνθήκη ὑπό τόν ὅρο νά μπορῆ ὅποιος θέλει νά πάρη τά ὑπάρχοντά του καί νά ἐγκαταλείψη τήν πόλη. 4. Ὁ Βρασίδας ἀμέσως προσείλκυσε μέ τό μέρος του πολλές γειτονικές πόλεις, μεταξύ τῶν ὁποίων ἀξιολογότατες εἶναι ἡ Οἰσύμη καί ἡ Γαληψός, καί οἱ δυό ἀποικίες τῶν Θασίων, καί τή Μύρκινο ἐπίσης, μιά πολίχνη τῶν Ἠδωνῶν. Ἐπίσης ἀποφάσισε νά ναυπηγήση τριήρεις πολλές στόν Στρυμόνα ποταμό καί συγκέντρωσε στρατό καί ἀπό τή Λακεδαίμονα καί ἀπό τούς ἄλλους συμμάχους. 5. Κατεσκεύαζε καί πολλές πανοπλίες καί τίς μοίραζε στούς νέους πού ἦταν ἄοπλοι, ἔκανε ἐπίσης προμήθειες βελῶν, τροφίμων καί ὅλων γενικά τῶν ἐφοδίων. Κι ὅταν ἦταν ὅλα ἕτοιμα, ἀνεχώρησε ἀπό τήν Ἀμφίπολη μέ τό στρατό του καί ἔφθασε στήν Ἀκτή[52], ὅπου στρατοπέδευσε. Ἐκεῖ ὑπῆρχαν πέντε πόλεις, μερικές ἀπό τίς ὁποῖες ἦταν Ἑλληνικές, ἀποικίες τῶν Ἀνδρίων, κι οἱ ἄλλες εἶχαν βαρβαρικό πληθυσμό Βισαλτικῆς[53] καταγωγῆς πού μιλοῦσε δυό γλῶσσες. 6. Ἀφοῦ ὑπέταξε αὐτές τίς πόλεις, ἐξεστράτευσε ἐναντίον τῆς πόλεως Τορώνης, πού ἦταν ἀποικία τῶν Χαλκιδέων καί κατέχονταν ἀπό Ἀθηναίους. Καί, καθώς μερικοί ἦταν πρόθυμοι νά προδώσουν τήν πόλη, ὁδηγήθηκε ἀπ' αὐτούς τή νύκτα μέσα στήν πόλη κι ἔτσι κατέλαβε τήν Τορώνη χωρίς μάχη.

Αὐτές εἶναι οἱ ἐπιτυχίες πού εἶχε ὁ Βρασίδας ἐκείνην τή χρονιά.

69.

Κι ἐνῶ συνέβαιναν ὅλα αὐτά τά γεγονότα, στό Δήλιο τῆς Βοιωτίας συνήφθη μιά μάχη μεταξύ τῶν Ἀθηναίων καί τῶν Βοιωτῶν ἀπό τίς ἑξῆς αἰτίες. Μερικοί Βοιωτοί πού ἦταν δυσαρεστημένοι ἀπό τό πολιτικό καθεστώς πού ἐπικρατοῦσε τότε καί ἐπιθυμοῦσαν νά ἐγκαθιδρύσουν τή δημοκρατία στίς πό-

52. Στήν περιοχή τοῦ Ἄθω.

53. Οἱ Βισάλται ἦταν Θρακική φυλή.

πολιτείᾳ καὶ σπεύδοντες δημοκρατίας ἐν ταῖς πόλεσι κα-
ταστῆσαι, διελέχθησαν περὶ τῆς ἰδίας προαιρέσεως τοῖς
Ἀθηναίων στρατηγοῖς Ἱπποκράτει καὶ Δημοσθένει, καὶ κα-
2 *τεπηγγέλλοντο παραδώσειν τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις. ἀσμέ-*
νως δὲ τῶν Ἀθηναίων προσδεξαμένων, περί τε τῶν κατὰ τὴν
ἐπίθεσιν διοικήσεων διελομένων τῶν στρατηγῶν τὴν δύνα-
μιν, Δημοσθένης μὲν τὸ πλεῖστον τοῦ στρατεύματος ἀνα-
λαβὼν ἐνέβαλεν εἰς τὴν Βοιωτίαν, καὶ καταλαβὼν τοὺς Βοι-
ωτοὺς προνενοημένους τὴν προδοσίαν, ἄπρακτος ἀπῆλθεν,
Ἱπποκράτης δὲ πανδημεὶ τοὺς Ἀθηναίους ἀγαγὼν ἐπὶ τὸ Δή-
λιον κατελάβετο τὸ χωρίον, καὶ φθάσας τὴν ἔφοδον τῶν
Βοιωτῶν ἐτείχισε τὸ Δήλιον. τοῦτο δὲ τὸ χωρίον κεῖται μὲν
3 *πλησίον τῆς Ὠρωπίας καὶ τῶν ὅρων τῆς Βοιωτίας· Παγών-*
δας δ' ὁ τῶν Βοιωτῶν ἔχων τὴν στρατηγίαν ἐξ ἁπασῶν τῶν
κατὰ τὴν Βοιωτίαν πόλεων μεταπεμψάμενος στρατιώτας
ἧκε πρὸς τὸ Δήλιον μετὰ πολλῆς δυνάμεως· εἶχε γὰρ στρα-
τιώτας πεζοὺς μὲν οὐ πολὺ λείποντας τῶν δισμυρίων, ἱππεῖς
4 *δὲ περὶ χιλίους. οἱ δ' Ἀθηναῖοι τῷ πλήθει μὲν ὑπερεῖχον τῶν*
Βοιωτῶν, ὡπλισμένοι δὲ οὐχ ὁμοίως τοῖς πολεμίοις· ἄφνω
γὰρ καὶ συντόμως ἐξεληλύθεσαν ἐκ τῆς πόλεως, καὶ διὰ
τὴν σπουδὴν ὑπῆρχον ἀπαράσκευοι.

70. Ἀμφοτέρων δὲ προθύμως ὡρμημένων παρετάχθη-
σαν αἱ δυνάμεις τόνδε τὸν τρόπον. παρὰ τοῖς Βοιωτοῖς ἐτάχ-
θησαν ἐπὶ τὸ δεξιὸν κέρας Θηβαῖοι, ἐπὶ δὲ τὸ εὐώνυμον
Ὀρχομένιοι, τὴν δὲ μέσην ἀνεπλήρουν φάλαγγα Βοιωτοί·
προεμάχοντο δὲ πάντων οἱ παρ' ἐκείνοις ἡνίοχοι καὶ παρα-
βάται καλούμενοι, ἄνδρες ἐπίλεκτοι τριακόσιοι. Ἀθηναῖοι δὲ
διατάττοντες ἔτι τὴν δύναμιν ἠναγκάσθησαν συνάψαι μά-
2 *χην. γενομένης δὲ τῆς παρατάξεως ἰσχυρᾶς, τὸ μὲν πρῶτον*
οἱ τῶν Ἀθηναίων ἱππεῖς ἀγωνιζόμενοι λαμπρῶς ἠνάγκα-
σαν φυγεῖν τοὺς ἀντιστάντας ἱππεῖς· μετὰ δὲ ταῦτα τῶν
πεζῶν διαγωνισαμένων οἱ ταχθέντες κατὰ τοὺς Θηβαίους

λεις, συζήτησαν τά πολιτικά τους σχέδια μέ τούς Ἀθηναίους στρατηγούς, τόν Ἱπποκράτη καί τόν Δημοσθένη, καί ὑποσχέθηκαν νά τούς παραδώσουν τίς πόλεις τῆς Βοιωτίας. 2. Οἱ Ἀθηναῖοι δέχθηκαν εὐχαρίστως τήν προσφορά καί ἐν ὄψει τῆς ἐπιθέσεως οἱ στρατηγοί ἐχώρισαν τή δύναμη. Ὁ Δημοσθένης ἀνέλαβε τό μεγαλύτερο μέρος τοῦ στρατεύματος καί εἰσέβαλε στή Βοιωτία, ἀλλά βρίσκοντας τούς Βοιωτούς πληροφορημένους γιά τήν προδοσία, ἔφυγε ἄπρακτος. Ὁ Ἱπποκράτης ὁδήγησε ὅλους τούς Ἀθηναίους στό Δήλιο καί τό κατέλαβε καί πρόφθασε καί τό τείχισε πρίν ἀπό τήν ἔφοδο τῶν Βοιωτῶν. Τό μέρος αὐτό βρίσκεται κοντά στήν περιοχή τοῦ Ὠρωποῦ, στά σύνορα τῆς Βοιωτίας. 3. Ὁ Παγώνδας, ὁ στρατηγός τῶν Βοιωτῶν, κάλεσε στρατιῶτες ἀπό ὅλες τίς πόλεις τῆς Βοιωτίας κι ἔφθασε στό Δήλιο μέ μεγάλη δύναμη, γιατί εἶχε κάτι λιγότερο ἀπό εἴκοσι χιλιάδες πεζούς καί κάπου χίλιους ἱππεῖς. 4. Οἱ Ἀθηναῖοι, ἄν καί ὑπερτεροῦσαν τῶν Βοιωτῶν σέ ἀριθμητική δύναμη, δέν ἦταν ὅμως τόσο καλά ἐξοπλισμένοι ὅσο οἱ ἀντίπαλοι. Γιατί ἀναχώρησαν ἐσπευσμένα ἀπό τήν πόλη κι ἀπό τή βιασύνη τους ἦταν κάπως ἀπαράσκευοι.

70.

Καί οἱ δυό στρατοί ἐβάδιζαν γιά τή μάχη μέ ἐνθουσιασμό καί παρέταξαν τίς δυνάμεις τους κατά τόν ἀκόλουθο τρόπο. Στήν παράταξη τῶν Βοιωτῶν τή δεξιά πτέρυγα τήν κατεῖχαν οἱ Θηβαῖοι, τήν ἀριστερή οἱ Ὀρχομένιοι καί τό κέντρο τῆς φάλαγγος τό κατεῖχαν οἱ ἄλλοι Βοιωτοί. Στήν πρώτη γραμμή τῆς φάλαγγος μάχονταν τριακόσιοι ἐπίλεκτοι ἄνδρες, ὀνομαζόμενοι «ἡνίοχοι καί παραβάται». Οἱ Ἀθηναῖοι ἀναγκάσθηκαν νά συνάψουν μάχη μέ τόν ἐχθρό, ἐνῶ ἀκόμα ἦταν ἀπασχολημένοι μέ τή διάταξη τῶν δυνάμεών τους. 2. Συνήφθη σκληρή μάχη, καί στήν ἀρχή τό ἱππικό τῶν Ἀθηναίων, πού μαχόταν γενναῖα, ἀνάγκασε τό ἱππικό τοῦ ἀντιπάλου νά τραπῆ εἰς φυγή. Ἀλλά ἀργότερα, ὅταν μπῆκε στή μάχη τό πεζικό, οἱ Ἀθηναῖοι πού ἦταν ἀπέναντι ἀπό τούς Θηβαίους πιεζόμενοι

Ἀθηναῖοι βιασθέντες ἐτράπησαν, οἱ δὲ λοιποὶ τοὺς ἄλλους
Βοιωτοὺς τρεψάμενοι καὶ συχνοὺς ἀνελόντες ἐφ' ἱκανὸν τό-
3 *πον ἐδίωξαν. οἱ δὲ Θηβαῖοι, διαφέροντες ταῖς τῶν σωμάτων*
ῥώμαις, ἐπέστρεψαν ἀπὸ τοῦ διωγμοῦ, καὶ τοῖς διώκουσι
τῶν Ἀθηναίων ἐπιπεσόντες φυγεῖν ἠνάγκασαν· ἐπιφανεῖ δὲ
μάχῃ νικήσαντες μεγάλην ἀπηνέγκαντο δόξαν πρὸς
4 *ἀνδρείαν. τῶν δ' Ἀθηναίων οἱ μὲν εἰς Ὠρωπόν, οἱ δὲ εἰς τὸ*
Δήλιον κατέφυγον, τινὲς δὲ πρὸς τὴν θάλατταν διέτειναν
πρὸς τὰς ἰδίας ναῦς, ἄλλοι δὲ κατ' ἄλλους ὡς ἔτυχε τόπους
διεσπάρησαν. ἐπιγενομένης δὲ τῆς νυκτὸς ἔπεσον τῶν μὲν
Βοιωτῶν οὐ πλείους τῶν πεντακοσίων, τῶν δ' Ἀθηναίων
πολλαπλάσιοι τούτων. εἰ μὲν οὖν ἡ νὺξ μὴ προκατέλαβεν, οἱ
πλεῖστοι τῶν Ἀθηναίων ἂν ἐτελεύτησαν· αὕτη γὰρ μεσολα-
βήσασα τὰς τῶν διωκόντων ὁρμὰς διέσωσε τοὺς φεύγοντας.
5 *ὅμως δὲ τοσοῦτο πλῆθος τῶν ἀναιρεθέντων ἦν, ὥστε τοὺς*
Θηβαίους ἐκ τῆς τῶν λαφύρων τιμῆς τήν τε στοὰν τὴν με-
γάλην ἐν ἀγορᾷ κατασκευάσαι καὶ χαλκοῖς ἀνδριᾶσι
κοσμῆσαι, τοὺς δὲ ναοὺς καὶ τὰς κατὰ τὴν ἀγορὰν στοὰς
τοῖς ὅπλοις τοῖς ἐκ τῶν σκύλων προσηλωθεῖσι κατα-
χαλκῶσαι· τήν τε τῶν Δηλίων πανήγυριν ἀπὸ τούτων τῶν
χρημάτων ἐνεστήσαντο ποιεῖν.
6 *Μετὰ δὲ τὴν μάχην οἱ μὲν Βοιωτοὶ τῷ Δηλίῳ προσβολὰς*
ποιησάμενοι κατὰ κράτος εἷλον τὸ χωρίον· τῶν δὲ φρου-
ρούντων τὸ Δήλιον οἱ πλείους μὲν μαχόμενοι γενναίως ἀπέ-
θανον, διακόσιοι δὲ ἥλωσαν· οἱ δὲ λοιποὶ κατέφυγον εἰς τὰς
ναῦς, καὶ διεκομίσθησαν μετὰ τῶν ἄλλων εἰς τὴν Ἀττικήν.
Ἀθηναῖοι μὲν οὖν ἐπιβουλεύσαντες τοῖς Βοιωτοῖς τοιαύτῃ
συμφορᾷ περιέπεσον.

71. Κατὰ δὲ τὴν Ἀσίαν Ξέρξης ὁ βασιλεὺς ἐτελεύτησεν ἄρξας ἐνιαυτόν, ὡς δ' ἔνιοι γράφουσι, μῆνας δύο· τὴν δὲ βα-

ἀπό τούς ἀντιπάλους ὀπισθοχώρησαν, ἐνῶ οἱ ὑπόλοιποι Ἀθηναῖοι ἔτρεψαν εἰς φυγήν τούς ἄλλους Βοιωτούς, σκότωσαν πολλούς καί τούς ἄλλους τούς ἔδιωξαν μακριά. 3. Οἱ Θηβαῖοι πού ὑπερεῖχαν στή σωματική ρώμη, ἐπέστρεψαν ἀπό τήν καταδίωξη καί ὅρμησαν πάνω στούς Ἀθηναίους πού κατεδίωκαν τούς Βοιωτούς καί τούς ἀνάγκασαν νά τραποῦν εἰς φυγήν. Ἔτσι, καθώς νίκησαν σέ μιά σημαντική μάχη, ἀπέκτησαν μεγάλη δόξα γιά τήν ἀνδρεία τους. 4. Τώρα ἀπό τούς Ἀθηναίους ἄλλοι κατέφυγαν στόν Ὠρωπό κι ἄλλοι στό Δήλιο. Μερικοί τράβηξαν κατά τή θάλασσα στά πλοῖα τους, κι ἄλλοι σκόρπισαν σέ διάφορα μέρη, ὅπως ἔτυχε. Ὅταν ἔπεσε ἡ νύκτα, οἱ Βοιωτοί νεκροί δέν ὑπερέβαιναν τούς πεντακόσιους, ἐνῶ οἱ Ἀθηναῖοι ἦταν πολλαπλάσιοι. Κι ἄν δέν μεσολαβοῦσε ἡ νύκτα, θά εἶχαν σκοτωθῆ οἱ περισσότεροι ἀπό τούς Ἀθηναίους. Γιατί αὐτή ἔσπασε τήν ὁρμή τῶν Θηβαίων καί διέσωσε τούς καταδιωκομένους. 5. Παρ' ὅλα αὐτά ἦταν τόσο μεγάλο τό πλῆθος τῶν σκοτωμένων, πού οἱ Θηβαῖοι ἀπό τό προϊόν τῶν λαφύρων κατασκεύασαν στήν ἀγορά τή μεγάλη στοά καί τήν ἐκόσμησαν μέ χάλκινους ἀνδριάντες, ἐνῶ τούς ναούς καί τίς στοές στήν ἀγορά τά κάλυψαν μέ χαλκό ἀπό τίς πανοπλίες καί τά λάφυρα πού κάρφωσαν ἀπάνω τους. Καί μ' αὐτά τά χρήματα ἐθέσπισαν τήν πανήγυρι τῶν Δηλίων, ὅπως ὀνομάσθηκε.

6. Μετά τή μάχη αὐτή, οἱ Βοιωτοί ἄρχισαν ἐπιθέσεις ἐναντίον τοῦ Δηλίου καί τό κατέλαβαν ἐξ ἐφόδου. Ἀπό τή φρουρά τοῦ Δηλίου οἱ περισσότεροι ἔπεσαν μαχόμενοι γενναῖα καί διακόσιοι πιάστηκαν αἰχμάλωτοι. Οἱ ὑπόλοιποι κατέφυγαν στά πλοῖα καί μεταφέρθηκαν μέ τούς ἄλλους φυγάδες στήν Ἀττική. Οἱ Ἀθηναῖοι λοιπόν μέ τή συνωμοσία τους ἐναντίον τῶν Βοιωτῶν, ἔπεσαν σέ μιά τέτοια συμφορά.

71.

Στήν Ἀσία ὁ βασιλιάς Ξέρξης πέθανε, ἀφοῦ βασίλεψε ἕνα χρόνο ἤ, ὅπως γράφουν μερικοί, δυό μῆνες. Τόν διαδέχθηκε στό θρόνο ὁ ἀδελφός του Σογδιανός, πού βασίλεψε ἑπτά

*σιλείαν διαδεξάμενος ὁ ἀδελφὸς Σογδιανὸς ἦρξε μῆνας
ἑπτά. τοῦτον δ᾽ ἀνελὼν Δαρεῖος ἐβασίλευσεν ἔτη δεκαεννέα.*
2 *Τῶν δὲ συγγραφέων Ἀντίοχος ὁ Συρακόσιος τὴν τῶν Σι-
κελικῶν ἱστορίαν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστρεψεν,
ἀρξάμενος ἀπὸ Κωκάλου τοῦ Σικανῶν βασιλέως, ἐν βί-
βλοις ἐννέα.*

*72. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησιν Ἀμεινίου Ῥωμαῖοι μὲν κα-
τέστησαν ὑπάτους Γάιον Παπίριον καὶ Λεύκιον Ἰούνιον. ἐπὶ
δὲ τούτων Σκιωναῖοι μὲν καταφρονήσαντες τῶν Ἀθηναίων
διὰ τὴν περὶ τὸ Δήλιον ἧτταν, ἀπέστησαν πρὸς τοὺς Λακε-
δαιμονίους καὶ τὴν πόλιν παρέδωκαν Βρασίδᾳ τῷ στρατη-
γοῦντι τῶν ἐπὶ Θρᾴκης Λακεδαιμονίων.*
2 *Ἐν δὲ τῇ Λέσβῳ μετὰ τὴν ἅλωσιν τῆς Μυτιλήνης ὑπ᾽ Ἀθη-
ναίων οἱ πεφευγότες ἐκ τῆς ἁλώσεως πολλοὶ τὸν ἀριθμὸν
ὄντες καὶ πάλαι μὲν ἐπεχείρουν κατελθεῖν εἰς τὴν Λέσβον,
τότε δὲ συστραφέντες Ἄντανδρον κατέλαβον, κἀκεῖθεν
ὁρμώμενοι διεπολέμουν τοῖς κατέχουσι τὴν Μυτιλήνην Ἀθη-*
3 *ναίοις. ἐφ᾽ οἷς παροξυνθεὶς ὁ δῆμος τῶν Ἀθηναίων ἐξέπεμψε
στρατηγοὺς μετὰ δυνάμεως ἐπ᾽ αὐτοὺς Ἀριστείδην καὶ Σύμ-
μαχον. οὗτοι δὲ καταπλεύσαντες εἰς τὴν Λέσβον καὶ προσ-
βολὰς ποιησάμενοι συνεχεῖς εἷλον τὴν Ἄντανδρον, καὶ τῶν
φυγάδων τοὺς μὲν ἀπέκτειναν, τοὺς δ᾽ ἐκ τῆς πόλεως ἐξέ-
βαλον, αὐτοὶ δὲ φρουρὰν ἀπολιπόντες τὴν φυλάξουσαν τὸ*
4 *χωρίον ἀπέπλευσαν ἐκ τῆς Λέσβου. μετὰ δὲ ταῦτα Λάμαχος
ὁ στρατηγὸς ἔχων δέκα τριήρεις ἔπλευσεν εἰς τὸν Πόντον,
καὶ καθορμισθεὶς εἰς Ἡράκλειαν περὶ τὸν ποταμὸν τὸν ὀνο-
μαζόμενον Κάλητα πάσας τὰς ναῦς ἀπέβαλε· μεγάλων γὰρ*

μῆνες. Αὐτόν τόν σκότωσε ὁ Δαρεῖος, ὁ ὁποῖος βασίλεψε δεκαεννιά χρόνια.

2. Ἀπό τούς ἱστορικούς ὁ Ἀντίοχος ὁ Συρακόσιος κλείνει μ᾽ αὐτόν τόν χρόνο τήν ἱστορία του γιά τή Σικελία, πού ἀρχίζει μέ τόν Κώκαλο, τό βασιλιά τῶν Σικανῶν, καί περιλαμβάνει ἐννιά βιβλία.

72.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Ἀμεινίας, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Γάιο Παπίριο καί τόν Λεύκιο Ἰούνιο. Αὐτήν τή χρονιά οἱ Σκιωναῖοι καταφρόνησαν τούς Ἀθηναίους γιά τήν ἧττα πού ὑπέστησαν στό Δήλιο καί ἀπεστάτησαν πρός τούς Λακεδαιμονίους καί παρέδωσαν τήν πόλη στόν Βρασίδα, τόν στρατηγό τῶν Λακεδαιμονίων, πού ἦταν τότε στή Θράκη.

2. Στή Λέσβο, μετά τήν ἅλωση τῆς Μυτιλήνης ἀπό τούς Ἀθηναίους, ὅσοι διέφυγαν ἀπό τήν ἅλωση –καί ἦταν πολλοί αὐτοί– καί παλαιότερα ἐπεχείρησαν νά ἐπιστρέψουν στή Λέσβο, καί τότε συγκεντρώθηκαν ὅλοι μαζί καί κατέλαβαν τήν Ἄντανδρο,[54] τήν ὁποία χρησιμοποιοῦσαν ὡς ὁρμητήριο, γιά νά διεξάγουν τόν πόλεμο μέ τούς Ἀθηναίους, πού κατεῖχαν τήν Μυτιλήνη. 3. Ὀργισμένος ἀπ᾽ αὐτήν τήν κατάσταση ὁ λαός τῶν Ἀθηναίων ἔστειλε ἐναντίον τους στρατιωτική δύναμη μέ στρατηγούς τόν Ἀριστείδη καί τόν Σύμμαχο. Αὐτοί κατέπλευσαν στή Λέσβο κι ὕστερα ἀπό συνεχεῖς ἐπιθέσεις κατέλαβαν τήν Ἄντανδρο καί τούς φυγάδες ἄλλους τούς σκότωσαν κι ἄλλους τούς ἔδιωξαν ἀπό τήν πόλη. Αὐτοί ἄφησαν φρουρά γιά νά φυλάη τό μέρος κι ἀπέπλευσαν ἀπό τή Λέσβο. 4. Μετά ἀπό αὐτά, ὁ Λάμαχος ὁ στρατηγός μέ δέκα τριήρεις ἔπλευσε στόν Πόντο, ἀγκυροβόλησε στήν Ἡράκλεια, στόν ποταμό Κάλητα, ὅπως λέγεται, ἀλλά ἔχασε ὅλα τά πλοῖα. Γιατί, ὅταν ἔπεσαν καταρρακτώδεις βροχές καί τό ρεῦμα τοῦ πο-

54. Στή νότια ἀκτή τῆς Τρωάδος.

ὄμβρων καταρραγέντων, καὶ τοῦ ποταμοῦ βίαιον τὴν κα-
ταφορὰν τοῦ ῥεύματος ποιησαμένου, τὰ σκάφη κατά τινας
τραχεῖς τόπους προσπεσόντα τῇ γῇ διεφθάρη.
5 *Ἀθηναῖοι δὲ πρὸς Λακεδαιμονίους σπονδὰς ἐνιαυσίους*
ἐποιήσαντο κατὰ ταύτας τὰς ὁμολογίας, ὥστ' ἔχειν ἑκατέ-
ρους ὧν τότε κύριοι καθειστήκεσαν. συνιόντες δὲ πολλάκις
εἰς λόγους ᾤοντο δεῖν καταλῦσαι τὸν πόλεμον καὶ εἰς τέλος
παύσασθαι τῆς πρὸς ἀλλήλους φιλοτιμίας· Λακεδαιμόνιοι δὲ
ἔσπευδον ἀπολαβεῖν τοὺς ἐν τῇ Σφακτηρίᾳ γενομένους
6 *αἰχμαλώτους. τῶν δὲ σπονδῶν τὸν εἰρημένον τρόπον συν-*
τελεσθεισῶν, περὶ μὲν τῶν ἄλλων αὐτοῖς ὁμολογούμενα
πάντα ὑπῆρξε, περὶ δὲ τῆς Σκιώνης ἠμφισβήτουν ἀμφότεροι.
γενομένης δὲ μεγάλης φιλοτιμίας τὰς σπονδὰς κατελύ-
σαντο, περὶ δὲ τῆς Σκιώνης διεπολέμουν πρὸς ἀλλήλους.
7 *Κατὰ δὲ τοῦτον τὸν χρόνον καὶ Μένδη πόλις πρὸς τοὺς*
Λακεδαιμονίους ἀπέστη καὶ τὴν φιλοτιμίαν τὴν ὑπὲρ τῆς
Σκιώνης ἰσχυροτέραν ἐποίησε. διὸ καὶ Βρασίδας μὲν ἐκ τῆς
Μένδης καὶ τῆς Σκιώνης ἀποκομίσας τέκνα καὶ γυναῖκας
καὶ τἄλλα τὰ χρησιμώτατα φρουραῖς ἀξιολόγοις ἠσφαλί-
8 *σατο τὰς πόλεις, Ἀθηναῖοι δὲ παροξυνθέντες ἐπὶ τοῖς γεγο-*
νόσιν ἐψηφίσαντο πάντας τοὺς Σκιωναίους, ὅταν ἁλῶσιν,
ἡβηδὸν ἀποσφάξαι, καὶ δύναμιν ἐξέπεμψαν ἐπ' αὐτοὺς ναυ-
τικὴν τριήρων πεντήκοντα· τούτων δὲ τὴν στρατηγίαν εἶχε
9 *Νικίας καὶ Νικόστρατος. οὗτοι δὲ πλεύσαντες ἐπὶ πρώτην*
τὴν Μένδην ἐκράτησαν τῆς πόλεως προδόντων τινῶν αὐτήν·
τὴν δὲ Σκιώνην περιετείχισαν, καὶ προσκαθήμενοι τῇ πο-
10 *λιορκίᾳ συνεχεῖς προσβολὰς ἐποιοῦντο. οἱ δ' ἐν τῇ Σκιώνῃ*
φρουροί, πολλοὶ μὲν τὸν ἀριθμὸν ὄντες, εὐπορίαν δ' ἔχον-
τες βελῶν καὶ σίτου καὶ τῆς ἄλλης παρασκευῆς, ῥᾳδίως
ἠμύνοντο τοὺς Ἀθηναίους, καὶ στάσιν ὑπερδέξιον ἔχοντες
πολλοὺς κατετίτρωσκον.

Ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν.

ταμοῦ κατέβαινε ὁρμητικό, τά πλοῖα παρασύρθηκαν πάνω σέ βραχώδη σημεῖα καί συντρίφθηκαν.

5. Οἱ Ἀθηναῖοι συνῆψαν συνθήκη εἰρήνης μέ τούς Λακεδαιμονίους γιά ἕνα χρόνο μέ τόν ὅρο νά κατέχη καθένας τά ἐδάφη, πού ἐξουσίαζε. Εἶχαν κάνει πολλές συζητήσεις κι ἦταν τῆς γνώμης, ὅτι ἔπρεπε νά σταματήσουν τόν πόλεμο καί νά θέσουν τέρμα στόν μεταξύ τους ἀνταγωνισμό. Οἱ Λακεδαιμόνιοι ἐνδιαφέρονταν πολύ νά πάρουν πίσω τούς αἰχμαλώτους τους πού συνελήφθησαν στή Σφακτηρία. 6. Ὅταν ἔκλεισε ἡ συνθήκη μέ τούς ὅρους πού εἴπαμε, σ' ὅλα τά ἄλλα ἦταν ἀπολύτως σύμφωνοι, γιά τή Σκιώνη ὅμως ὑπῆρχε ἀμφισβήτηση. Κι οἱ σχέσεις τους ὀξύνθηκαν ἐξ αἰτίας της σέ τέτοιο σημεῖο, πού κατήγγειλαν τή συνθήκη καί συνέχισαν τόν πόλεμο μεταξύ τους γιά τή Σκιώνη.

7. Αὐτόν τόν καιρό καί ἡ πόλη Μένδη[55] ἀπεστάτησε καί πῆγε μέ τό μέρος τῶν Λακεδαιμονίων, γεγονός πού ὄξυνε περισσότερο τή διαμάχη γιά τή Σκιώνη. Γι' αὐτό ὁ Βρασίδας μετέφερε ἀπό τή Μένδη καί τή Σκιώνη τά γυναικόπαιδα κι ὅ,τι ἄλλο χρήσιμο ὑπῆρχε καί ἀσφάλισε τίς πόλεις μέ ἰσχυρή φρουρά. 8. Γι' αὐτό οἱ Ἀθηναῖοι, ὀργισμένοι ἀποφάσισαν νά σφάξουν ὅλους τούς Σκιωναίους ἀπό ἐφήβους καί πάνω, ὅταν τούς κυριεύσουν, καί ἔστειλαν ἐναντίον τους ναυτική δύναμη ἀπό πενήντα τριήρεις. Τή στρατηγία τήν εἶχαν ὁ Νικίας καί ὁ Νικόστρατος. 9. Αὐτοί ἔπλευσαν πρῶτα ἐναντίον τῆς Μένδης καί κατέλαβαν τήν πόλη μέ τή βοήθεια μερικῶν προδοτῶν. Τή Σκιώνη τήν περιτείχισαν, ὀργάνωσαν τήν πολιορκία κι ἐνεργοῦσαν συνεχεῖς ἐπιθέσεις. 10. Ἡ φρουρά τῆς Σκιώνης, πού ἦταν πολυάριθμη καί διέθετε ἄφθονα βέλη, τρόφιμα καί ἐφόδια γενικά, ἀπέκρουε μέ ἄνεση τούς Ἀθηναίους κι ὅπως μάχονταν ἀπό ψηλότερες θέσεις, τραυμάτιζαν πολλούς.

Αὐτά ὑπῆρξαν τά γεγονότα τοῦ ἔτους.

55. Στόν Θερμαϊκό κόλπο, δυτικά τῆς Σκιώνης.

73. Μετὰ δὲ ταῦτα Ἀθήνησι μὲν ἦρχεν Ἀλκαῖος, ἐν Ῥώμῃ δὲ ὑπῆρχον ὕπατοι Ὀπίτερος Λουκρήτιος καὶ Λεύκιος Σέργιος Φιδηνιάτης. ἐπὶ δὲ τούτων Ἀθηναῖοι τοῖς Δηλίοις ἐγκαλοῦντες ὅτι λάθρᾳ πρὸς Λακεδαιμονίους συντίθενται συμμαχίαν, ἐξέβαλον αὐτοὺς ἐκ τῆς νήσου καὶ τὴν πόλιν αὐτοὶ κατέσχον. τοῖς δ᾽ ἐκπεσοῦσι Δηλίοις Φαρνιάκης ὁ σατράπης ἔδωκεν οἰκεῖν πόλιν Ἀδραμύτιον.

2 *Οἱ δ᾽ Ἀθηναῖοι προχειρισάμενοι στρατηγὸν Κλέωνα τὸν δημαγωγόν, καὶ δόντες ἀξιόλογον δύναμιν πεζήν, ἐξέπεμψαν εἰς τοὺς ἐπὶ Θρᾴκης τόπους. οὗτος δὲ πλεύσας εἰς Σκιώνην, κἀκεῖθεν προσλαβόμενος στρατιώτας ἐκ τῶν πολιορκούντων τὴν πόλιν, ἀπέπλευσε καὶ κατῆρεν εἰς Τορώνην· ἐγίνωσκε γὰρ τὸν μὲν Βρασίδαν ἐκ τούτων τῶν τόπων ἀπεληλυθότα, πρὸς δὲ τῇ Τορώνῃ τοὺς ἀπολελειμμένους*
3 *στρατιώτας οὐκ ὄντας ἀξιομάχους. πλησίον δὲ τῆς Τορώνης καταστρατοπεδεύσας καὶ πολιορκήσας ἅμα κατὰ γῆν καὶ κατὰ θάλατταν, εἷλε κατὰ κράτος τὴν πόλιν, καὶ τοὺς μὲν παῖδας καὶ τὰς γυναῖκας ἠνδραποδίσατο, αὐτοὺς δὲ καὶ τοὺς τὴν πόλιν φρουροῦντας αἰχμαλώτους λαβών, δήσας ἀπέστειλεν εἰς τὰς Ἀθήνας· τῆς δὲ πόλεως ἀπολιπὼν τὴν ἱκανὴν φρουρὰν ἐξέπλευσε μετὰ τῆς δυνάμεως, καὶ κατῆρε τῆς Θρᾴκης ἐπὶ Στρυμόνα ποταμόν. καταστρατοπεδεύσας δὲ πλησίον πόλεως Ἠιόνος, ἀπεχούσης ἀπὸ τῆς Ἀμφιπόλεως σταδίους ὡς τριάκοντα, προσβολὰς ἐποιεῖτο τῷ πολίσματι.*

74. Πυθόμενος δὲ τὸν Βρασίδαν μετὰ δυνάμεως διατρίβειν περὶ πόλιν Ἀμφίπολιν, ἀνέζευξεν ἐπ᾽ αὐτόν. ὁ δὲ Βρασίδας ὡς ἤκουσε προσιόντας τοὺς πολεμίους, ἐκτάξας τὴν

73.

Τόν ἑπόμενο χρόνο στήν Ἀθήνα ἄρχων ἦταν ὁ Ἀλκαῖος καί ὕπατοι στή Ρώμη ἦταν ὁ Ὀπίτερος Λουκρήτιος καί ὁ Λεύκιος Σέργιος Φιδηνιάτης. Αὐτήν τή χρονιά οἱ Ἀθηναῖοι κατηγόρησαν τούς Δηλίους ὅτι συνῆψαν μυστική συμμαχία μέ τούς Λακεδαιμονίους καί τούς ἔδιωξαν ἀπό τό νησί καί κατεῖχαν αὐτοί τήν πόλη. Στούς Δηλίους πού διώχθηκαν, ὁ σατράπης Φαρνιάκης παραχώρησε τήν πόλη Ἀδραμύτιο[56] γιά νά ἐγκασταθοῦν.

2. Οἱ Ἀθηναῖοι ἐξέλεξαν στρατηγό τόν Κλέωνα τό δημαγωγό, κι ἀφοῦ τοῦ παρέδωσαν ἀξιόλογη δύναμη πεζικοῦ, τόν ἔστειλαν κατά τά μέρη τῆς Θράκης. Ὁ Κλέων ἔπλευσε στή Σκιώνη κι ἀπό ἐκεῖ πῆρε κι ἄλλους στρατιῶτες ἀπ᾽ αὐτούς πού πολιορκοῦσαν τήν πόλη κι ἔπλευσε γιά τήν Τορώνη. Γιατί ἤξερε ὅτι ὁ Βρασίδας εἶχε φύγει ἀπό αὐτά τά μέρη κι ὅτι οἱ στρατιῶτες πού εἶχε ἀφήσει στήν Τορώνη δέν ἀποτελοῦσαν δύναμη ἀξιόμαχη. Στρατοπέδευσε λοιπόν κοντά στήν Τορώνη, τήν πολιόρκησε ἀπό στεριά κι ἀπό θάλασσα καί κατέλαβε τήν πόλη ἐξ ἐφόδου. Τά γυναικόπαιδα τά ἐξανδραπόδισε καί τούς φρουρούς τῆς πόλεως, πού ἔπιασε αἰχμαλώτους, τούς ἔδεσε καί τούς ἔστειλε στήν Ἀθήνα. Κι ἀφοῦ ἄφησε μιά ἰσχυρή φρουρά στήν πόλη, ἀπέπλευσε μέ τό στρατό του καί ἄραξε στό Στρυμόνα ποταμό, στή Θράκη. Ἐγκατέστησε τό στρατόπεδο κοντά στήν πόλη Ἠιόνα, πού ἀπεῖχε ἀπό τήν Ἀμφίπολη κάπου τριάντα στάδια, καί ἐνεργοῦσε ἐπιθέσεις ἐναντίον τῆς πόλεως.

74.

Μαθαίνοντας ὁ Κλέων, ὅτι ὁ Βρασίδας μέ τό στρατό του περνοῦσε τόν καιρό του στήν Ἀμφίπολη, ἀνέλαβε τό στρατό του καί βάδισε ἐναντίον του. Κι ὁ Βρασίδας, ὅταν ἔμαθε, ὅτι πλησίαζαν οἱ ἐχθροί, παρέταξε τή δύναμή του καί βγῆκε νά συ-

56. Στά παράλια τῆς Μ. Ἀσίας, ΒΑ. τῆς Λέσβου.

*δύναμιν ἀπήντα τοῖς Ἀθηναίοις· γενομένης δὲ παρατάξεως
μεγάλης, καὶ τῶν στρατοπέδων ἀγωνισαμένων ἀμφοτέρων
λαμπρῶς, τὸ μὲν πρῶτον ἰσόρροπος ἦν ἡ μάχη, μετὰ δὲ
ταῦτα παρ' ἑκατέροις τῶν ἡγεμόνων φιλοτιμουμένων δι'
ἑαυτῶν κρῖναι τὴν μάχην, συνέβη πολλοὺς τῶν ἀξιολόγων
ἀνδρῶν ἀναιρεθῆναι, τῶν στρατηγῶν αὐτοὺς καταστησάν-
των εἰς τὴν μάχην καὶ ὑπὲρ τῆς νίκης ἀνυπέρβλητον φιλο-*
2 *τιμίαν εἰσενεγκαμένων. ὁ μὲν οὖν Βρασίδας ἀριστεύσας
καὶ πλείστους ἀνελὼν ἡρωικῶς κατέστρεψε τὸν βίον· ὁμοίως
δὲ καὶ τοῦ Κλέωνος ἐν τῇ μάχῃ πεσόντος, ἀμφότεραι μὲν αἱ
δυνάμεις διὰ τὴν ἀναρχίαν ἐταράχθησαν, τὸ τέλος δ' ἐνί-
κησαν οἱ Λακεδαιμόνιοι καὶ τρόπαιον ἔστησαν. οἱ δ' Ἀθη-
ναῖοι τοὺς νεκροὺς ὑποσπόνδους, ἀνελόμενοι καὶ θάψαντες*
3 *ἀπέπλευσαν εἰς τὰς Ἀθήνας. εἰς δὲ τὴν Λακεδαίμονα πα-
ραγενομένων τινῶν ἐκ τῆς μάχης καὶ τὴν Βρασίδου νίκην
ἅμα καὶ τελευτὴν ἀπαγγειλάντων, ἡ μήτηρ τοῦ Βρασίδου
πυνθανομένη περὶ τῶν πραχθέντων κατὰ τὴν μάχην ἐπη-
ρώτησε, ποῖός τις γέγονε ἐν τῇ παρατάξει Βρασίδας· τῶν δ'
ἀποκριναμένων ὅτι πάντων Λακεδαιμονίων ἄριστος, εἶπεν
ἡ μήτηρ τοῦ τετελευτηκότος ὅτι Βρασίδας ὁ υἱὸς αὐτῆς ἦν*
4 *ἀγαθὸς ἀνήρ, πολλῶν μέντοι γε ἑτέρων καταδεέστερος. τῶν
δὲ λόγων τούτων διαδοθέντων κατὰ τὴν πόλιν οἱ ἔφοροι δη-
μοσίᾳ τὴν γυναῖκα ἐτίμησαν, ὅτι προέκρινε τὸν τῆς πατρί-
δος ἔπαινον τῆς τοῦ τέκνου δόξης.*
5 *Μετὰ δὲ τὴν εἰρημένην μάχην ἔδοξαν οἱ Ἀθηναῖοι τοῖς
Λακεδαιμονίοις συνθέσθαι σπονδὰς πεντηκονταετεῖς ἐπὶ
τοῖσδε· τοὺς μὲν αἰχμαλώτους παρ' ἀμφοτέροις ἀπολυθῆναι,*
6 *τὰς δὲ πόλεις ἀποδοῦναι τὰς κατὰ πόλεμον ληφθείσας. ὁ μὲν
οὖν Πελοποννησιακὸς πόλεμος, διαμείνας μέχρι τῶν ὑπο-
κειμένων καιρῶν ἔτη δέκα, τὸν εἰρημένον τρόπον κατε-
λύθη.*

ναντήση τούς Ἀθηναίους. Ἐπακολούθησε σκληρή μάχη, κατά τήν ὁποία κι οἱ δυό παρατάξεις ἀγωνίσθηκαν σκληρά, καί στήν ἀρχή ἡ μάχη ἦταν ἀμφίρροπη, ἀλλά ἔπειτα πού οἱ ἀξιωματικοί καί τῶν δυό παρατάξεων φιλοδοξοῦσαν νά κρίνουν τήν ἔκβαση τῆς μάχης μέ τίς δικές τους προσπάθειες, συνέβη νά σκοτωθοῦν πολλοί ἀπό τούς σημαντικούς ἄνδρες, καθώς οἱ στρατηγοί ὅρμησαν στή μάχη καί μέ τό παράδειγμά τους προκάλεσαν μιάν ἀνυπέρβλητη ἅμιλλα γιά τή νίκη. 2. Ὁ Βρασίδας διακρίθηκε στή μάχη κι ἀφοῦ σκότωσε πάρα πολλούς, ἔπεσε ἡρωϊκά στό πεδίο τῆς μάχης. Τό ἴδιο γενναῖα πολεμώντας ἔπεσε κι ὁ Κλέων, κι οἱ δυό στρατοί βρέθηκαν σέ σύγχυση, καθώς ἔμειναν χωρίς ἀρχηγούς, ἀλλά στό τέλος νίκησαν οἱ Λακεδαιμόνιοι κι ἔστησαν τρόπαιο. Οἱ Ἀθηναῖοι πῆραν πίσω τούς νεκρούς τους μέ συνθήκη, τούς ἔθαψαν κι ἀπέπλευσαν γιά τήν Ἀθήνα. 3. Ὅταν ἔφθασαν μερικοί στή Λακεδαίμονα ἀπό τό πεδίο τῆς μάχης κι ἀνήγγειλαν τή νίκη τοῦ Βρασίδα, ἀλλά ταυτόχρονα καί τόν θάνατό του, ἡ μητέρα τοῦ Βρασίδα, πού ζητοῦσε νά μάθη τά καθέκαστα τῆς μάχης, ρώτησε πῶς στάθηκε ὁ Βρασίδας στή μάχη. Κι ὅταν ἐκεῖνοι τῆς εἶπαν ὅτι ὑπῆρξε ὁ γενναιότερος ἀπ' ὅλους τούς Λακεδαιμονίους, ἡ μητέρα τοῦ σκοτωμένου εἶπε, ὅτι ὁ γυιός της ἦταν γενναῖο παλληκάρι, ἀλλά πάντως κατώτερος ἀπό πολλούς ἄλλους. 4. Ὅταν τά λόγια της αὐτά διαδόθηκαν στήν πόλη, οἱ ἔφοροι ἀπένειμαν δημόσιες τιμές στή γυναίκα, γιατί ἔθεσε τόν ἔπαινο τῆς πατρίδος πάνω ἀπό τή δόξα τοῦ γυιοῦ της.

5. Μετά ἀπ' αὐτήν τή μάχη οἱ Ἀθηναῖοι ἀποφάσισαν νά συνάψουν πεντηκονταετεῖς συνθῆκες εἰρήνης μέ τούς ἑξῆς ὅρους. Ν' ἀφήσουν ὅλοι ἐλεύθερους τούς αἰχμαλώτους καί κάθε πλευρά ν' ἀποδώση τίς πόλεις πού κατέλαβε στή διάρκεια τοῦ πολέμου. Ἔτσι ὁ Πελοποννησιακός πόλεμος, πού συνεχίσθηκε ὥς αὐτόν τόν καιρό ἐπί δέκα χρόνια, τερματίστηκε κατ' αὐτόν τόν τρόπο.

75. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀριστίωνος Ῥωμαῖοι κα-
τέστησαν ὑπάτους Τίτον Κοΐντιον καὶ Αὖλον Κορνήλιον
Κόσσον. ἐπὶ δὲ τούτων ἄρτι τοῦ πολέμου τοῦ Πελοποννη-
σιακοῦ καταλελυμένου πάλιν ταραχαὶ καὶ κινήσεις πολεμι-
καὶ συνέβησαν κατὰ τὴν Ἑλλάδα διὰ τοιαύτας τινὰς αἰτίας.
2 *Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κοινῇ μετὰ τῶν συμμάχων πε-*
ποιημένοι σπονδὰς καὶ διαλύσεις, χωρὶς τῶν συμμαχίδων
πόλεων συνέθεντο συμμαχίαν. τοῦτο δὲ πράξαντες εἰς ὑπό-
νοιαν ἦλθον ὡς ἐπὶ καταδουλώσει τῶν ἄλλων Ἑλλήνων ἰδίᾳ
3 *πεποιημένοι συμμαχίαν. διόπερ αἱ μέγισται τῶν πόλεων διε-*
πρεσβεύοντο πρὸς ἀλλήλας καὶ συνδιελέγοντο περὶ ὁμο-
νοίας καὶ συμμαχίας κατὰ τῶν Ἀθηναίων καὶ Λακεδαιμο-
νίων. ἦσαν δὲ προεστῶσαι πόλεις ταύτης αἱ δυνατώταται
τέτταρες, Ἄργος, Θῆβαι, Κόρινθος, Ἦλις.
4 *Εὐλόγως δ' ὑπωπτεύθησαν αἱ πόλεις συμφρονεῖν κατὰ*
τῆς Ἑλλάδος διὰ τὸ προσγεγράφθαι ταῖς κοιναῖς συνθήκαις·
ἐξεῖναι Ἀθηναίοις καὶ Λακεδαιμονίοις, ὅπερ ἂν δοκῇ ταύ-
ταις ταῖς πόλεσι, προσγράφειν ταῖς συνθήκαις καὶ ἀφαιρεῖν
ἀπὸ τῶν συνθηκῶν. χωρὶς δὲ τούτων Ἀθηναῖοι μὲν διὰ ψη-
φίσματος ἔδωκαν δέκα ἀνδράσιν ἐξουσίαν ἔχειν βουλεύε-
σθαι περὶ τῶν τῇ πόλει συμφερόντων· τὸ παραπλήσιον δὲ καὶ
τῶν Λακεδαιμονίων πεποιηκότων φανερὰν συνέβη γενέσθαι
5 *τῶν δύο πόλεων τὴν πλεονεξίαν. πολλῶν δὲ πόλεων ὑπα-*
κουουσῶν πρὸς τὴν κοινὴν ἐλευθερίαν, καὶ τῶν μὲν Ἀθη-
ναίων καταφρονουμένων διὰ τὴν περὶ τὸ Δήλιον συμφοράν,
τῶν δὲ Λακεδαιμονίων τεταπεινωμένων τῇ δόξῃ διὰ τὴν
ἅλωσιν τῶν ἐν τῇ Σφακτηρίᾳ νήσῳ, πολλαὶ πόλεις συνί-
σταντο, καὶ προῆγον τὴν τῶν Ἀργείων πόλιν ἐπὶ τὴν ἡγεμο-

75.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Ἀριστίων, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Τίτο Κοΐντιο καί τόν Αὖλο Κορνήλιο Κόσσο. Αὐτήν τή χρονιά, ἐνῶ μόλις πρό ὀλίγου εἶχε τερματισθῆ ὁ Πελοποννησιακός πόλεμος, πάλι σημειώνονταν ταραχές καί στρατιωτικές κινήσεις στήν Ἑλλάδα ἀπό τίς ἑξῆς αἰτίες. 2. Οἱ Ἀθηναῖοι κι οἱ Λακεδαιμόνιοι, πού εἶχαν συνάψει ἀνακωχή καί ὑπέγραψαν συνθήκη εἰρήνης μαζί μέ τούς συμμάχους τους, εἶχαν σχηματίσει μιά συμμαχία χωρίς νά συμβουλευθοῦν τίς σύμμαχες πόλεις. Μέ τήν ἐνέργειά τους αὐτή δημιούργησαν ὑποψίες, ὅτι σχημάτισαν μιά συμμαχία γιά δικούς τους σκοπούς, μέ τήν πρόθεση νά ὑποδουλώσουν τούς ἄλλους Ἕλληνες. 3. Γι' αὐτό οἱ σπουδαιότερες πόλεις ἄρχισαν νά ἀνταλλάσσουν πρεσβεῖες καί νά συζητοῦν μεταξύ τους τή σύναψη συμμαχίας ἐναντίον τῶν Ἀθηναίων καί τῶν Λακεδαιμονίων. Οἱ πόλες πού πρωτοστατοῦσαν στήν κίνηση αὐτή ἦταν οἱ τέσσερες πιό ἰσχυρές πόλεις, τό Ἄργος, ἡ Θήβα, ἡ Κόρινθος ἡ Ἦλις.

4. Καί εἶχαν λόγους οἱ πόλεις αὐτές νά ὑποπτεύωνται, ὅτι ἡ Ἀθήνα καί ἡ Σπάρτη εἶχαν κοινά σχέδια εἰς βάρος τῶν ἄλλων Ἑλλήνων, γιατί στή συνθήκη εἰρήνης εἶχε προστεθῆ ἕνας ὅρος, ὅτι δηλ. οἱ Ἀθηναῖοι κι οἱ Λακεδαιμόνιοι εἶχαν τό δικαίωμα νά προσθέτουν ἤ νά ἀφαιροῦν κάτι ἀπό τίς συνθῆκες, τό ὁποῖο θά ἔκριναν αὐτοί σκόπιμο. Κι ἐκτός τούτου οἱ Ἀθηναῖοι μέ ψήφισμα ἀνέθεσαν σέ δέκα ἄνδρες τήν ἐξουσία νά εἰσηγοῦνται τί συμφέρει κάθε φορά στήν πόλη. Καί καθώς ἔκαναν κι οἱ Λακεδαιμόνιοι τό ἴδιο πρᾶγμα, οἱ ἰδιαίτερες ἐπιδιώξεις τῶν δυό πόλεων ἔγιναν ὁλοφάνερες σ' ὅλους. 5. Πολλές πόλεις ἀνταποκρίθηκαν στήν πρόσκληση γιά τήν κοινή τους ἐλευθερία καί, καθώς οἱ Ἀθηναῖοι εἶχαν πέσει στήν ἐκτίμησή τους γιά τήν καταστροφή πού ἔπαθαν στό Δήλιο, κι οἱ Λακεδαιμόνιοι πάλι εἶχαν ταπεινωθῆ γιά τήν αἰχμαλωσία τῆς φρουρᾶς τους στή νῆσο Σφακτηρία, πολλές πόλεις ἑνώνονταν καί προωθοῦσαν τήν πόλη τῶν Ἀργείων νά καταλάβη τή θέση τοῦ ἡγεμόνα τῆς

6 *νίαν. εἶχε γὰρ ἡ πόλις αὕτη μέγα ἀξίωμα διὰ τὰς παλαιὰς πράξεις· πρὸ γὰρ τῆς Ἡρακλειδῶν κατηλύσεως ἐκ τῆς Ἀργείας ὑπῆρξαν σχεδὸν ἅπαντες οἱ μέγιστοι τῶν βασιλέων· πρὸς δὲ τούτοις πολὺν χρόνον εἰρήνην ἔχουσα προσόδους μεγίστας ἐλάμβανε, καὶ πλῆθος οὐ μόνον χρημάτων*
7 *εἶχεν, ἀλλὰ καὶ ἀνδρῶν. οἱ δ' Ἀργεῖοι νομίζοντες αὐτοῖς συγχωρηθήσεσθαι τὴν ὅλην ἡγεμονίαν, ἐπέλεξαν τῶν πολιτῶν χιλίους τοὺς νεωτέρους καὶ μάλιστα τοῖς τε σώμασιν ἰσχύοντας καὶ ταῖς οὐσίαις· ἀπολύσαντες δὲ αὐτοὺς καὶ τῆς ἄλλης λειτουργίας καὶ τροφὰς δημοσίας χορηγοῦντες προσέταξαν γυμνάζεσθαι συνεχεῖς μελέτας. οὗτοι μὲν οὖν διὰ τὴν χορηγίαν καὶ τὴν συνεχῆ μελέτην ταχὺ τῶν πολεμικῶν ἔργων ἀθληταὶ κατεστάθησαν.*

76. Λακεδαιμόνιοι δὲ ὁρῶντες ἐπ' αὐτοὺς συνισταμένην τὴν Πελοπόννησον καὶ προορώμενοι τὸ μέγεθος τοῦ πολέμου, τὰ κατὰ τὴν ἡγεμονίαν ὡς ἦν δυνατὸν ἠσφαλίζοντο. καὶ πρῶτον μὲν τοὺς μετὰ Βρασίδα κατὰ τὴν Θρᾴκην ἐστρατευμένους Εἵλωτας ὄντας χιλίους ἠλευθέρωσαν, μετὰ δὲ ταῦτα τοὺς ἐν τῇ Σφακτηρίᾳ νήσῳ ληφθέντας αἰχμαλώτους Σπαρτιάτας ἀτιμίᾳ περιβεβληκότες, ὡς τὴν Σπάρτην
2 *ἀδοξοτέραν πεποιηκότας, ἀπέλυσαν τῆς ἀτιμίας. ἀκολούθως δὲ τούτοις τοῖς κατὰ τὸν πόλεμον ἐπαίνοις καὶ τιμαῖς προετρέποντο τὰς προγεγενημένας ἀνδραγαθίας ἐν τοῖς μέλλουσιν ἀγῶσιν ὑπερβάλλεσθαι· τοῖς τε συμμάχοις ἐπιεικέστερον προσεφέροντο, καὶ ταῖς φιλανθρωπίαις τοὺς ἀλλο-*
3 *τριωτάτους αὐτῶν ἐθεράπευον. Ἀθηναῖοι δὲ τοὐναντίον τῷ φόβῳ βουλόμενοι καταπλήξασθαι τοὺς ἐν ὑποψίᾳ ἀποστάσεως ὄντας, παράδειγμα πᾶσιν ἀνέδειξαν τὴν ἐκ τῶν Σκιω-*

κινήσεως. 6. Γιατί ἡ πόλη αὐτή εἶχε μεγάλο κῦρος γιά τά παλιά της κατορθώματα. Γιατί πρίν ἀπό τήν κάθοδο τῶν Ἡρακλειδῶν ὅλοι σχεδόν οἱ πιό σπουδαῖοι βασιλεῖς προέρχονταν ἀπ' τήν Ἀργολίδα. Καί ἐπί πλέον, ἐπειδή ἡ πόλη εἶχε ἐπί πολύν χρόνο εἰρήνη, συγκόμιζε μεγάλα εἰσοδήματα καί δέν εἶχε μόνο πλῆθος χρημάτων, ἀλλά καί ἀνδρῶν. 7. Οἱ Ἀργεῖοι, πιστεύοντας ὅτι θά τούς ἀνατεθῆ ἡ γενική ἀρχηγία, ἐπέλεξαν μεταξύ τῶν πολιτῶν τους χίλιους, τούς νεότερους μέ τή μεγαλύτερη σωματική ρώμη καί τή μεγαλύτερη περιουσία. Κι ἀφοῦ τούς ἀπάλλαξαν ἀπό ὁποιαδήποτε ἄλλη ὑπηρεσία καί τούς ἔτρεφαν μέ δημόσια δαπάνη, τούς πρόσταξαν νά γυμνάζωνται συνεχῶς. Αὐτοί οἱ νέοι λοιπόν μέ τή χορηγία καί τή συνεχῆ ἄσκηση, ἀπέκτησαν σύντομα ἀθλητικά σώματα κατάλληλα γιά τά ἔργα τοῦ πολέμου.

76.

Οἱ Λακεδαιμόνιοι βλέποντας, ὅτι ὅλη ἡ Πελοπόννησος ἑνωνόταν ἐναντίον τους καί προβλέποντας τό μέγεθος τοῦ πολέμου, ἄρχισαν νά καταβάλλουν κάθε δυνατή προσπάθεια νά ἐξασφαλίσουν τήν ἡγεμονική τους θέση. Καί πρῶτα - πρῶτα τούς χίλιους Εἵλωτες, πού εἶχαν ἐκστρατεύσει μέ τόν Βρασίδα στή Θράκη, τούς ἀπελευθέρωσαν καί τούς Σπαρτιάτες, πού εἶχαν αἰχμαλωτισθῆ στή νῆσο Σφακτηρία καί εἶχαν ἀτιμασθῆ, γιατί ἀμαύρωσαν τή δόξα τῆς Σπάρτης, τούς ἀπάλλαξαν ἀπό τήν ἀτιμία. 2. Ἐπίσης, ἀκολουθώντας τήν ἴδια πολιτική, μέ τούς ἐπαίνους καί τίς τιμές πού ἀπονέμονταν στή διάρκεια τοῦ πολέμου, τούς παρότρυναν τώρα νά ξεπεράσουν τίς παλαιότερες ἀνδραγαθίες στούς μελλοντικούς ἀγῶνες. Καί πρός τούς συμμάχους τους φέρονταν μέ συγκατάβαση κι ἐκείνους πού ἔτρεφαν τά πιό δυσμενῆ αἰσθήματα ἀπέναντί τους τούς περιέβαλλαν μέ φιλόφρονες περιποιήσεις. 3. Οἱ Ἀθηναῖοι ἀπεναντίας πού ἤθελαν νά συγκρατήσουν μέ τόν τρόμο τούς ὑπόπτους ἀποστασίας, πρόβαλλαν σ' ὅλους ὡς παράδειγμα τήν τιμωρία τῶν Σκιωναίων. Αὐτούς δηλ. τούς κατέλαβαν μέ πο-

ναίων τιμωρίαν· ἐκπολιορκήσαντες γὰρ αὐτοὺς καὶ πάντας ἡβηδὸν κατασφάξαντες, παῖδας μὲν καὶ γυναῖκας ἐξηνδραποδίσαντο, τὴν δὲ νῆσον οἰκεῖν παρέδοσαν τοῖς Πλαταιεῦσιν, ἐκπεπτωκόσι δι' ἐκείνους ἐκ τῆς πατρίδος.

4 *Περὶ δὲ τοὺς αὐτοὺς χρόνους κατὰ τὴν Ἰταλίαν Καμπανοὶ μεγάλῃ δυνάμει στρατεύσαντες ἐπὶ Κύμην ἐνίκησαν μάχῃ τοὺς Κυμαίους καὶ τοὺς πλείους τῶν ἀντιταχθέντων κατέκοψαν. προσκαθεζόμενοι δὲ τῇ πολιορκίᾳ καὶ πλείους προσβολὰς ποιησάμενοι κατὰ κράτος εἷλον τὴν πόλιν. διαρπάσαντες δ' αὐτὴν καὶ τοὺς καταληφθέντας ἐξανδραποδισάμενοι τοὺς ἱκανοὺς οἰκήτορας ἐξ αὑτῶν ἀπέδειξαν.*

77. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀστυφίλου Ῥωμαῖοι κατέστησαν ὑπάτους Λεύκιον Κοΐντιον καὶ Αὖλον Σεμπρώνιον, Ἠλεῖοι δ' ἤγαγον Ὀλυμπιάδα ἐνενηκοστήν, καθ' ἣν ἐνίκα στάδιον Ὑπέρβιος Συρακόσιος. ἐπὶ δὲ τούτων Ἀθηναῖοι μὲν κατά τινα χρησμὸν Δηλίοις ἀπέδοσαν τὴν νῆσον, καὶ κατῆλθον εἰς τὴν πατρίδα οἱ τὸ Ἀδραμύτιον οἰκοῦντες
2 *Δήλιοι. τῶν δὲ Ἀθηναίων οὐκ ἀποδόντων Λακεδαιμονίοις τὴν Πύλον, πάλιν αἱ πόλεις αὗται πρὸς ἀλλήλας διεφέροντο καὶ πολεμικῶς εἶχον. ἃ δὴ πυθόμενος ὁ δῆμος τῶν Ἀργείων ἔπεισε τοὺς Ἀθηναίους φιλίαν συνθέσθαι πρὸς τοὺς Ἀργεί-*
3 *ους. αὐξομένης δὲ τῆς διαφορᾶς, οἱ μὲν Λακεδαιμόνιοι τοὺς Κορινθίους ἔπεισαν ἐγκαταλιπεῖν τὴν κοινὴν σύνοδον καὶ συμμαχεῖν τοῖς Λακεδαιμονίοις. τοιαύτης δὲ ταραχῆς γενομένης καὶ ἀναρχίας οὔσης, τὰ κατὰ τὴν Πελοπόννησον ἐν τούτοις ἦν.*

4 *Ἐν δὲ τοῖς ἐκτὸς τόποις Αἰνιᾶνες καὶ Δόλοπες καὶ Μηλιεῖς συμφρονήσαντες δυνάμεσιν ἀξιολόγοις ἐστράτευσαν*

λιορκία, κι ἀφοῦ ἔσφαξαν ὅλους τούς ἄντρες ἀπό ἐφήβους καί πάνω, ἐξανδραπόδισαν τά γυναικόπαιδα καί παρέδωσαν τό νησί στούς Πλαταιεῖς νά ἐγκατασταθοῦν, γιατί εἶχαν ἐκδιωχθῆ ἀπό τήν πατρίδα τους ἐξ αἰτίας τῶν Ἀθηναίων.

4. Στή διάρκεια αὐτοῦ τοῦ ἔτους στήν Ἰταλία οἱ Καμπανοί, πού ἐξεστράτευσαν μέ μεγάλη δύναμη ἐναντίον τῆς Κύμης, νίκησαν τούς Κυμαίους σέ μάχη καί σκότωσαν τούς περισσότερους. Πολιόρκησαν ἔπειτα τήν πόλη καί ὕστερα ἀπό πολλές ἐπιθέσεις τήν κατέλαβαν ἐξ ἐφόδου. Λεηλάτησαν τήν πόλη, τούς αἰχμαλώτους, πού συνέλαβαν, τούς πούλησαν σκλάβους καί ἐγκατέστησαν ἀποίκους δικούς τους.

77.

Ὅταν ἦταν ἄρχων στήν Ἀθήνα ὁ Ἀστύφιλος, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Λεύκιο Κοΐντιο καί τόν Αὖλο Σεμπρώνιο κι οἱ Ἠλεῖοι ὀργάνωσαν τήν ἐνενηκοστή Ὀλυμπιάδα, στήν ὁποία νίκησε στόν ἀγώνα δρόμου ἑνός σταδίου ὁ Ὑπέρβιος ὁ Συρακόσιος. Αὐτόν τό χρόνο οἱ Ἀθηναῖοι, ὑπακούοντας σέ κάποιο χρησμό, ἀπέδωσαν στούς Δηλίους τό νησί τους, κι ἔτσι οἱ Δήλιοι, πού ἦταν ἐγκατεστημένοι στό Ἀδραμύτιο, ἐπέστρεψαν στήν πατρίδα τους. 2. Καί ἐπειδή οἱ Ἀθηναῖοι δέν ἀπέδωσαν στούς Λακεδαιμονίους τήν Πύλο, οἱ πόλεις αὐτές ἐχθρεύονταν πάλι ἡ μία τήν ἄλλη κι ἦταν ἐπί ποδός πολέμου. Ὅταν τά ἔμαθε αὐτά ὁ λαός τῶν Ἀργείων, ἔπεισε τούς Ἀθηναίους νά συνάψουν φιλία μέ τούς Ἀργείους. 3. Καί καθώς ἡ διαμάχη ἔπαιρνε διαστάσεις, οἱ Λακεδαιμόνιοι ἔπεισαν τούς Κορινθίους νά ἐγκαταλείψουν τή συμπολιτεία καί νά συμμαχήσουν μέ τούς Λακεδαιμονίους. Αὐτή ἦταν ἡ κατάσταση στήν Πελοπόννησο μέ κύρια χαρακτηριστικά τή σύγχυση καί τήν ἀναρχία.

4. Στίς περιοχές ἐκτός τῆς κυρίως Ἑλλάδος οἱ Αἰνιᾶνες, οἱ Δόλοπες καί οἱ Μαλιεῖς ἦρθαν σέ συνεννόηση μεταξύ τους καί

ἐπὶ τὴν Ἡράκλειαν τὴν ἐν Τραχῖνι. ἀντιταχθέντων δὲ τῶν Ἡρακλεωτῶν καὶ μάχης γενομένης ἰσχυρᾶς, ἡττήθησαν οἱ τὴν Ἡράκλειαν κατοικοῦντες. πολλοὺς δ' ἀποβαλόντες στρατιώτας, καὶ συμφυγόντες ἐντὸς τῶν τειχῶν, μετεπέμψαντο βοήθειαν παρὰ τῶν Βοιωτῶν. ἀποστειλάντων δ' αὐτοῖς τῶν Θηβαίων χιλίους ὁπλίτας ἐπιλέκτους, μετ' αὐτῶν ἠμύνοντο τοὺς ἐπεστρατευκότας.

5 *Ἅμα δὲ τούτοις πραττομένοις Ὀλύνθιοι μὲν στρατεύσαντες ἐπὶ πόλιν Μηκύβερναν, φρουρουμένην ὑπ' Ἀθηναίων, τὴν μὲν φρουρὰν ἐξέβαλον, αὐτοὶ δὲ τὴν πόλιν κατέσχον.*

78. Ἐπ' ἄρχοντος δ' Ἀθήνησιν Ἀρχίου Ῥωμαῖοι κατέστησαν ὑπάτους Λεύκιον Παπίριον Μουγιλανὸν καὶ Γάιον Σερουίλιον Στροῦκτον. ἐπὶ δὲ τούτων Ἀργεῖοι μὲν ἐγκαλέσαντες τοῖς Λακεδαιμονίοις ὅτι τὰ θύματα οὐκ ἀπέδοσαν τῷ Ἀπόλλωνι τῷ Πυθίῳ, πόλεμον αὐτοῖς κατήγγειλαν· καθ' ὃν δὴ χρόνον Ἀλκιβιάδης ὁ στρατηγὸς τῶν Ἀθηναίων ἐνέβα-
2 *λεν εἰς τὴν Ἀργείαν ἔχων δύναμιν. τούτους δὲ οἱ Ἀργεῖοι παραλαβόντες ἐστράτευσαν ἐπὶ Τροιζῆνα, πόλιν σύμμαχον Λακεδαιμονίων, καὶ τὴν μὲν χώραν λεηλατήσαντες, τὰς δὲ ἐπαύλεις ἐμπρήσαντες, ἀπηλλάγησαν εἰς τὴν οἰκεία. οἱ δὲ Λακεδαιμόνιοι παροξυνθέντες ἐπὶ τοῖς εἰς τοὺς Τροιζηνίους παρανομήμασιν ἔγνωσαν διαπολεμεῖν πρὸς Ἀργείους· διὸ καὶ δύναμιν ἀθροίσαντες ἐπέστησαν ἡγεμόνα Ἆγιν τὸν βα-*
3 *σιλέα. οὗτος δὲ μετὰ τῆς δυνάμεως ἐστράτευσεν ἐπὶ τοὺς Ἀργείους, καὶ τὴν μὲν χώραν ἐδῄωσε, πλησίον δὲ τῆς πόλεως ἀγαγὼν τὴν δύναμιν προεκαλεῖτο τοὺς πολεμίους εἰς μάχην.*
4 *οἱ δ' Ἀργεῖοι προσλαβόμενοι στρατιώτας παρὰ μὲν Ἠλείων τρισχιλίους, παρὰ δὲ Μαντινέων οὐ πολὺ λειπομένους τούτων, προῆγον ἐκ τῆς πόλεως τὸ στρατόπεδον. μελλούσης δὲ παρατάξεως γίνεσθαι, οἱ στρατηγοὶ παρ' ἀμφοτέροις δια-*

μέ ἀξιόλογες δυνάμεις ἐξεστρέτευσαν ἐναντίον τῆς Ἡρακλείας στήν Τραχῖνα. Οἱ Ἡρακλεῶτες ἀντιστάθηκαν καί συνήφθη μεγάλη μάχη, στήν ὁποία ἡττήθηκαν οἱ κάτοικοι τῆς Ἡράκλειας. Κι ὅπως ἔχασαν πολλούς στρατιῶτες καί ζήτησαν καταφύγιο μέσα στά τείχη, ἔστειλαν καί ζήτησαν βοήθεια ἀπό τούς Βοιωτούς. Οἱ Θηβαῖοι τούς ἔστειλαν χίλιους ὁπλίτες ἐπιλέκτους, μέ τή βοήθεια τῶν ὁποίων ἀπέκρουσαν τόν ἐχθρό.

5. Κι ἐνῶ συνέβαιναν αὐτά τά γεγονότα, οἱ Ὀλύνθιοι ἐξέστράτευσαν ἐναντίον τῆς πόλεως Μηκύβερνα, πού εἶχε Ἀθηναϊκή φρουρά, ἔδιωξαν τή φρουρά καί κράτησαν αὐτοί τήν πόλη.

78.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Ἀρχίας, οἱ Ρωμαῖοι ἀνέδειξαν ὑπάτους τόν Λεύκιο Παπίριο Μουγιλανό καί τόν Γάιο Σερβίλιο Στροῦκτο. Αὐτήν τή χρονιά οἱ Ἀργεῖοι, κατηγορώντας τούς Λακεδαιμονίους ὅτι δέν ἀπέδωσαν τά ὀφειλόμενα σφάγια στόν Πύθιο Ἀπόλλωνα, τούς κήρυξαν τόν πόλεμο. Αὐτόν ἀκριβῶς τόν καιρό ὁ Ἀλκιβιάδης, ὁ στρατηγός τῶν Ἀθηναίων, ἔφθασε στήν Ἀργολίδα μέ στρατό. 2. Οἱ Ἀργεῖοι ἑνώθηκαν μ' αὐτούς καί ἐξεστράτευσαν ἐναντίον τῆς Τροιζήνας, πού ἦταν σύμμαχος τῶν Λακεδαιμονίων καί, ἀφοῦ λεηλάτησαν τήν ὕπαιθρο κι ἔκαψαν τίς ἀγροικίες, γύρισαν στήν πατρίδα τους. Οἱ Λακεδαιμόνιοι, ὀργισμένοι γιά τήν ἀπρόκλητη ἐπίθεση ἐναντίον τῶν Τροιζηνίων, ἀπεφάσισαν νά πολεμήσουν τούς Ἀργείους. Γι' αὐτό συνάθροισαν δύναμη, ἐπί κεφαλῆς τῆς ὁποίας ἔθεσαν τόν Ἆγι τό βασιλιά. 3. Ὁ Ἆγις μ' αὐτήν τή δύναμη ἐξεστράτευσε ἐναντίον τῶν Ἀργείων καί λεηλάτησε τή χώρα καί ὁδηγώντας τό στρατό του κοντά στήν πόλη προκαλοῦσε τόν ἐχθρό σέ μάχη. 4. Οἱ Ἀργεῖοι πῆραν ἐνίσχυση τρεῖς χιλιάδες στρατιῶτες ἀπό τούς Ἠλείους κι ἄλλους τόσους ἀπό τούς Μαντινεῖς καί βγῆκαν ἔξω ἀπό τήν πόλη γιά νά συναντήσουν τόν ἐχθρό. Κι ἐκεῖ πού ἡ μάχη ἦταν ἐπικείμενη, οἱ στρατηγοί καί τῶν δυό παρατάξεων ἄρχισαν

5 *πρεσβευσάμενοι τετραμηνιαίους ἀνοχὰς συνέθεντο. ἐπανελθόντων δὲ τῶν στρατοπέδων ἀπράκτων εἰς τὴν οἰκείαν, δι’ ὀργῆς εἶχον αἱ πόλεις ἀμφότεραι τοὺς συνθεμένους τὰς σπονδὰς στρατηγούς. διόπερ οἱ μὲν Ἀργεῖοι τοῖς λίθοις βάλλοντες τοὺς ἡγεμόνας ἀποκτείνειν ἐπεχείρησαν, καὶ μόγις μετὰ πολλῆς δεήσεως τὸ ζῆν συνεχώρησαν, τὴν δ’ οὐσίαν*
6 *αὐτῶν δημεύσαντες κατέσκαψαν τὰς οἰκίας. οἱ δὲ Λακεδαιμόνιοι τὸν Ἆγιν ἐπεβάλοντο μὲν κολάζειν, ἐπαγγειλαμένου δ’ αὐτοῦ διὰ τῶν καλῶν ἔργων διορθώσασθαι τὴν ἁμαρτίαν, μόγις συνεχώρησαν, εἰς δὲ τὸν λοιπὸν χρόνον ἑλόμενοι δέκα ἄνδρας τοὺς συνετωτάτους, παρακατέστησαν συμβούλους καὶ προσέταξαν μηδὲν ἄνευ τῆς τούτων γνώμης πράττειν.*

79. Μετὰ δὲ ταῦτα Ἀθηναίων ἀποστειλάντων κατὰ θάλατταν εἰς Ἄργος ὁπλίτας μὲν χιλίους ἐπιλέκτους, ἱππεῖς δὲ διακοσίους, ὧν ἐστρατήγουν Λάχης καὶ Νικόστρατος· συνῆν δὲ τούτοις καὶ Ἀλκιβιάδης ἰδιώτης ὢν διὰ τὴν φιλίαν τὴν πρὸς Ἠλείους καὶ Μαντινεῖς· συνεδρευσάντων δὲ πάντων, ἔδοξε τὰς μὲν σπονδὰς ἐᾶν χαίρειν, πρὸς δὲ τὸν πόλε-
2 *μον ὁρμῆσαι. διὸ καὶ τοὺς ἰδίους ἕκαστος στρατηγὸς παρώρμησε πρὸς τὸν ἀγῶνα, καὶ πάντων προθύμως ὑπακουσάντων, ἐκτὸς τῆς πόλεως κατεστρατοπέδευσαν. ἔδοξεν οὖν αὐτοῖς πάντων πρῶτον στρατεύειν ἐπ’ Ὀρχομενὸν τῆς Ἀρκαδίας. διὸ καὶ παρελθόντες εἰς Ἀρκαδίαν, προσκαθεζόμενοι τῇ πόλει καθ’ ἡμέραν ἐποιοῦντο προσβολὰς τοῖς τεί-*
3 *χεσι. χειρωσάμενοι δὲ τὴν πόλιν κατεστρατοπέδευσαν πλησίον Τεγέας, κεκρικότες καὶ ταύτην πολιορκῆσαι. τῶν δὲ Τεγεατῶν ἀξιούντων τοὺς Λακεδαιμονίους βοηθῆσαι κατὰ τάχος, οἱ Σπαρτιᾶται παραλαβόντες τοὺς ἰδίους πάντας καὶ τοὺς συμμάχους ἧκον ἐπὶ τὴν Μαντίνειαν, νομίζοντες ταύ-*

διαπραγματεύσεις καί συνῆψαν ἀνακωχή γιά τέσσερες μῆνες. 5. Κι ὅταν οἱ στρατοί ἐπέστρεψαν ἄπρακτοι καθένας στήν πατρίδα του, καί οἱ δυό πόλεις ἦταν ὀργισμένες μέ τούς στρατηγούς πού ὑπέγραψαν τήν ἀνακωχή. Γι’ αὐτό οἱ Ἀργεῖοι λιθοβολοῦσαν τούς ἀρχηγούς καί ἐπιχείρησαν νά τούς σκοτώσουν. Καί μόνο μέ δυσκολία κι ὕστερα ἀπό πολλές παρακλήσεις τούς χάρισαν τή ζωή, δήμευσαν ὅμως τήν περιουσία τους καί κατέσκαψαν τά σπίτια τους. 6. Κι οἱ Λακεδαιμόνιοι ἀπό τό ἄλλο μέρος ἀποφάσισαν νά τιμωρήσουν τόν Ἆγι, ὅταν ὅμως ἐκεῖνος ὑποσχέθηκε μέ γενναῖες πράξεις νά διορθώση τό σφάλμα του, μέ δυσκολία τόν ἀπάλλαξαν, καί γιά τό μέλλον ἐξέλεξαν δέκα ἄνδρες, τούς πιό ἱκανούς, τούς διόρισαν συμβούλους του καί τόν πρόσταξαν νά μήν κάνη τίποτε χωρίς νά τούς συμβουλευθῆ.

79.

Ὕστερ’ ἀπ’ αὐτά οἱ Ἀθηναῖοι ἔστειλαν διά θαλάσσης στό Ἄργος χίλιους ἐπιλέκτους ὁπλίτες καί διακόσιους ἱππεῖς μέ στρατηγούς τόν Λάχητα καί Νικόστρατο. Τούς συνόδευε κι ὁ Ἀλκιβιάδης, πού ἦταν ἁπλός ἰδιώτης, γιά τή φιλία πού εἶχε μέ τούς Ἠλείους καί τούς Μαντινεῖς. Σέ μιά κοινή σύσκεψη ἀποφάσισαν νά ἐγκαταλείψουν τήν ἀνακωχή καί ν’ ἀρχίσουν τόν πόλεμο. 2. Ἔτσι κάθε στρατηγός παρορμοῦσε τό στρατό του στόν πόλεμο, κι ὅταν ὅλοι ἀνταποκρίθηκαν πρόθυμα, στρατοπέδευσαν ἔξω ἀπό τήν πόλη. Ἀποφάσισαν λοιπόν πρῶτα-πρῶτα νά βαδίσουν ἐναντίον τοῦ Ὀρχομενοῦ τῆς Ἀρκαδίας. Ἔτσι, φθάνοντας στήν Ἀρκαδία, πολιόρκησαν τήν πόλη καί κάθε μέρα ἐνεργοῦσαν ἐπιθέσεις στά τείχη. 3. Κι ἀφοῦ κατέλαβαν τήν πόλη, στρατοπέδευσαν κοντά στήν Τεγέα μέ τήν ἀπόφαση νά τήν πολιορκήσουν καί αὐτήν. Ἀλλά, ὅταν οἱ Τεγεάτες κάλεσαν σέ ἄμεση βοήθεια στούς Λακεδαιμονίους, οἱ Σπαρτιάτες πῆραν ὅλους τούς δικούς τους στρατιῶτες καί τούς συμμάχους τους κι ἔφθασαν στή Μαντίνεια πιστεύοντας ὅτι, ἄν μεταφέρουν τόν πόλεμο στή Μαντίνεια, θά

της πολεμουμένης ἀρθήσεσθαι τὴν τῆς Τεγέας πολιορκίαν.
4 *οἱ δὲ Μαντινεῖς τοὺς συμμάχους παραλαβόντες, καὶ αὐτοὶ πανδημεὶ στρατεύσαντες, ἀντετάχθησαν τοῖς Λακεδαιμονίοις. γενομένης δὲ μάχης ἰσχυρᾶς, οἱ μὲν ἐπίλεκτοι τῶν Ἀργείων, χίλιοι τὸν ἀριθμὸν ὄντες, γεγυμνασμένοι δὲ καλῶς τὰ κατὰ τὸν πόλεμον, ἐτρέψαντο τοὺς ἀντιτεταγμένους*
5 *πρῶτοι, καὶ διώκοντες πολὺν ἐποίουν φόνον. οἱ δὲ Λακεδαιμόνιοι τἄλλα μέρη τοῦ στρατεύματος τρεψάμενοι καὶ πολλοὺς ἀνελόντες ὑπέστρεψαν ἐπ' αὐτοὺς ἐκείνους, καὶ τῷ*
6 *πλήθει κυκλώσαντες ἤλπιζον κατακόψειν ἅπαντας. τῶν δὲ λογάδων τῷ μὲν πλήθει πολὺ λειπομένων, ταῖς δ' ἀνδραγαθίαις προεχόντων, ὁ μὲν βασιλεὺς τῶν Λακεδαιμονίων προαγωνιζόμενος ἐνεκαρτέρησε τοῖς δεινοῖς, καὶ πάντας ἂν ἀνεῖλεν· ἔσπευδε γὰρ τοῖς πολίταις ἀποδοῦναι τὰς ἐπαγγελίας, καὶ μέγα τι κατεργασάμενος διορθώσασθαι τὴν γεγενημένην ἀδοξίαν· οὐ μὴν εἰάθη γε τὴν προαίρεσιν ἐπιτελέσαι. Φάραξ γὰρ ὁ Σπαρτιάτης, εἷς ὢν τῶν συμβούλων, ἀξίωμα δὲ μέγιστον ἔχων ἐν τῇ Σπάρτῃ, διεκελεύετο τοῖς λογάσι δοῦναι δίοδον, καὶ μὴ πρὸς ἀπεγνωκότας τὸ ζῆν δια-*
7 *κινδυνεύοντας πεῖραν λαβεῖν ἀτυχούσης ἀρετῆς. ὅθεν ἠναγκάσθη κατὰ τὴν ἀρτίως ῥηθεῖσαν ἐπιταγὴν δοῦναι διέξοδον κατὰ τὴν τοῦ Φάρακος γνώμην. οἱ μὲν οὖν χίλιοι τὸν εἰρημένον τρόπον ἀφεθέντες διελθεῖν διεσώθησαν, οἱ δὲ Λακεδαιμόνιοι μεγάλῃ μάχῃ νικήσαντες καὶ τρόπαιον στήσαντες ἀπῆλθον εἰς τὴν οἰκείαν.*

80. Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος Ἀθήνησι μὲν ἦρχεν Ἀντιφῶν, ἐν Ῥώμῃ δ' ἀντὶ τῶν ὑπάτων χιλίαρχοι τέτ-

ἀρθῆ ἡ πολιορκία τῆς Τεγέας. 4. Οἱ Μαντινεῖς συγκέντρωσαν τούς συμμάχους τους καί ἐξεστράτευσαν καί οἱ ἴδιοι μέ ὅλες τους τίς δυνάμεις, γιά ν' ἀντιμετωπίσουν τούς Λακεδαιμονίους. Σέ μιά μεγάλη μάχη πού ἔγινε, οἱ ἐπίλεκτοι τῶν Ἀργείων, χίλιοι τόν ἀριθμό, μέ ἐξαίρετη στρατιωτική ἐκπαίδευση, πρῶτοι αὐτοί ἀνέτρεψαν τούς ἀντιπάλους τους καί τούς ἀποδεκάτιζαν κατά τήν καταδίωξη. 5. Ἀλλά οἱ Λακεδαιμόνιοι, ἀφοῦ ἔτρεψαν εἰς φυγήν τά ἄλλα μέρη τῆς στρατιωτικῆς παρατάξεως καί ἐπέφεραν μεγάλες ἀπώλειες, στράφηκαν ἔπειτα ἐναντίον τῶν ἐπιλέκτων Ἀργείων καί, καθώς τούς περικύκλωσαν χάρη στήν ἀριθμητική τους ὑπεροχή, ἤλπιζαν νά τούς ἐξοντώσουν μέχρις ἑνός. 6. Τώρα οἱ ἐπίλεκτοι Ἀργεῖοι ὑπολείπονταν σέ ἀριθμό, ὑπερεῖχαν ὅμως στή γενναιότητα, κι ὁ βασιλιάς τῶν Λακεδαιμονίων ἀγωνιζόμενος στήν πρώτη γραμμή ἀντιμετώπιζε μέ σταθερότητα τά δεινά τῆς μάχης καί θά τούς εἶχε σκοτώσει ὅλους, γιατί φλεγόταν νά πραγματοποιήση τίς ὑποσχέσεις του πρός τούς πολίτες καί μέ κάποιο μέγα κατόρθωμα ν' ἀποπλύνη τήν προηγούμενη ντροπή. Ἀλλά δέν τοῦ ἐπέτρεψαν νά πραγματώση τό σκοπό του. Γιατί ὁ Φάραξ ὁ Σπαρτιάτης, πού ἦταν ἕνας ἀπό τούς συμβούλους τοῦ Ἆγι, ἄνθρωπος μέ μεγάλη ὑπόληψη στή Σπάρτη, τοῦ συνέστησε ν' ἀφήση δρόμο ἀνοικτό στούς ἐπιλέκτους καί νά μή διακινδυνεύση τή ζωή του σ' ἕναν ἀγώνα μέ ἀνθρώπους πού μάχονται ἀπεγνωσμένα καί ἀποδείξη βέβαια τήν ἔξοχη ἀρετή του, ἀλλά χωρίς τύχη. 7. Ἔτσι ὁ βασιλιάς ὑπακούοντας στή διαταγή πού ἔλαβε, ἀναγκάσθηκε ν' ἀνοίξη δρόμο διαφυγῆς στόν ἐχθρό, σύμφωνα μέ τή γνώμη τοῦ Φάρακα. Ἔτσι οἱ χίλιοι ἀφέθηκαν νά περάσουν μ' αὐτόν τόν τρόπο καί σώθηκαν, ἐνῶ οἱ Λακεδαιμόνιοι, ἀφοῦ νίκησαν σέ μιά μεγάλη μάχη καί ἔστησαν τρόπαιο, ἐπέστρεψαν στήν πατρίδα τους.

80.

Ὅταν τελείωσε αὐτή ἡ χρονιά, στήν Ἀθήνα ἔγινε ἄρχων ὁ Ἀντιφῶν καί στή Ρώμη, ἀντί τῶν ὑπάτων, ἀναδείχθηκαν τέσ-

ταρες κατεστάθησαν, Γάιος Φούριος καὶ Τίτος Κοΐντιος, ἔτι δὲ Μάρκος Ποστούμιος καὶ Αὖλος Κορνήλιος. ἐπὶ δὲ τούτων Ἀργεῖοι καὶ Λακεδαιμόνιοι διαπρεσβευσάμενοι πρὸς ἀλλήλους εἰρήνην ἐποιήσαντο καὶ συμμαχίαν συνέθεντο.
2 *διόπερ οἱ Μαντινεῖς ἀποβαλόντες τὴν ἀπὸ τῶν Ἀργείων βοήθειαν ἠναγκάσθησαν ὑποταγῆναι τοῖς Λακεδαιμονίοις. περὶ δὲ τοὺς αὐτοὺς χρόνους ἐν τῇ πόλει τῶν Ἀργείων οἱ κατ' ἐκλογὴν κεκριμένοι τῶν πολιτῶν χίλιοι συνεφώνησαν, καὶ τὴν μὲν δημοκρατίαν ἔγνωσαν καταλύειν, ἀριστοκρα-*
3 *τίαν δ' ἐξ αὐτῶν καθιστάναι. ἔχοντες δὲ πολλοὺς συνεργοὺς διὰ τὸ προέχειν τῶν πολιτῶν ταῖς οὐσίαις καὶ ταῖς ἀνδραγαθίαις, τὸ μὲν πρῶτον συλλαβόντες τοὺς δημαγωγεῖν εἰωθότας ἀπέκτειναν, τοὺς δ' ἄλλους καταπληξάμενοι κατέλυσαν τοὺς νόμους καὶ δι' ἑαυτῶν τὰ δημόσια διῴκουν. διακατασχόντες δὲ ταύτην τὴν πολιτείαν μῆνας ὀκτὼ κατελύθησαν, τοῦ δήμου συστάντος ἐπ' αὐτούς· διὸ καὶ τούτων ἀναιρεθέντων ὁ δῆμος ἐκομίσατο τὴν δημοκρατίαν.*

4 *Ἐγένετο δὲ καὶ ἑτέρα κίνησις κατὰ τὴν Ἑλλάδα· καὶ Φωκεῖς γὰρ πρὸς Λοκροὺς διενεχθέντες παρατάξει ἐκρίθησαν διὰ τὴν οἰκείαν ἀνδρείαν· ἐνίκησαν γὰρ Φωκεῖς ἀνελόντες Λοκρῶν πλείους χιλίων.*

5 *Ἀθηναῖοι δὲ Νικίου στρατηγοῦντος εἷλον δύο πόλεις, Κύθηρα καὶ Νίσαιαν· τήν τε Μῆλον ἐκπολιορκήσαντες πάντας ἡβηδὸν ἀπέσφαξαν, παῖδας δὲ καὶ γυναῖκας ἐξηνδραποδίσαντο.*

6 *Καὶ τὰ μὲν κατὰ τοὺς Ἕλληνας ἐν τούτοις ἦν. κατὰ δὲ τὴν Ἰταλίαν Φιδηνᾶται μέν, παραγενομένων εἰς τὴν πόλιν αὐτῶν πρέσβεων ἐκ τῆς Ῥώμης, ἐπὶ μικραῖς αἰτίαις ἀνεῖλον*
7 *τούτους. ἐφ' οἷς οἱ Ῥωμαῖοι παροξυνθέντες ἐψηφίσαντο πολεμεῖν, καὶ προχειρισάμενοι δύναμιν ἀξιόλογον εἵλοντο δικτάτορα Ἄνιον Αἰμίλιον καὶ μετὰ τούτου κατὰ τὸ ἔθος*
8 *Αὖλον Κορνήλιον ἵππαρχον. ὁ δ' Αἰμίλιος παρασκευασά-*

σερες χιλίαρχοι, ὁ Γάιος Φούριος καί ὁ Τίτος Κοΐντιος, ἐπίσης ὁ Μάρκος Ποστούμιος κι ὁ Αὖλος Κορνήλιος. Αὐτήν τή χρονιά οἱ Ἀργεῖοι καί οἱ Λακεδαιμόνιοι, ὕστερα ἀπό διαπραγματεύσεις ἔκλεισαν εἰρήνη καί συνῆψαν συμμαχία μεταξύ τους. 2. Ἔτσι οἱ Μαντινεῖς, τώρα πού ἔχασαν τή βοήθεια τῶν Ἀργείων, ἀναγκάσθηκαν νά ὑποταχθοῦν στούς Λακεδαιμονίους. Τόν ἴδιον καιρό στό Ἄργος, οἱ ἐπίλεκτοι χίλιοι πολίτες συνεννοήθηκαν μεταξύ τους καί μέ μιά γνώμη ἀποφάσισαν νά καταλύσουν τή δημοκρατία καί νά ἐγκαθιδρύσουν τή δική τους ἀριστοκρατία. 3. Κι ὅπως ἐξασφάλισαν πολλούς βοηθούς χάρη στήν ἐξέχουσα θέση πού τούς παρεῖχε ὁ πλοῦτος καί οἱ ἀνδραγαθίες τους, πρῶτα-πρῶτα συνέλαβαν ὅλους τούς πολιτικούς ἡγέτες τοῦ λαοῦ καί τούς σκότωσαν, τρομοκράτησαν τούς ἄλλους καί κατέλυσαν τή νομιμότητα καί ἀνέλαβαν μόνοι τους τή διοίκηση τοῦ κράτους. Κι ἀφοῦ κράτησαν τήν ἐξουσία ὀκτώ μῆνες, ἀνατράπηκαν ἀπό τό λαό, πού ἑνωμένος ἐξεγέρθηκε ἐναντίον τους. Κι ἀφοῦ τούς ἐθανάτωσε, ὁ λαός ἐπανέφερε τή δημοκρατία.

4. Συνέβησαν καί ἄλλα πολεμικά γεγονότα στήν Ἑλλάδα. Οἱ Φωκεῖς, πού εἶχαν διαφορές μέ τούς Λοκρούς, τίς ἔλυσαν στό πεδίο τῆς μάχης μέ τήν παλληκαριά τους. Νίκησαν δηλ. οἱ Φωκεῖς, οἱ ὁποῖοι σκότωσαν πάνω ἀπό χίλιους Λοκρούς.

5. Οἱ Ἀθηναῖοι, μέ στρατηγό τόν Νικία, κατέλαβαν δυό πόλεις, τά Κύθηρα καί τή Νίσαια. Κυρίευσαν τή Μῆλο μέ πολιορκία κι ἔσφαξαν ὅλους τούς ἄρρενες ἀπό ἐφήβους καί πάνω, ἐνῶ ἐξανδραπόδισαν τίς γυναῖκες καί τά παιδιά.

6. Αὐτά συνέβησαν στήν Ἑλλάδα αὐτόν τό χρόνο. Στήν Ἰταλία οἱ Φιδηνάτες, ὅταν ἔφθασαν στήν πόλη τους πρέσβεις ἀπό τή Ρώμη, τούς θανάτωσαν γιά ἀσήμαντους λόγους. 7. Ὀργισμένοι γιά τήν πράξη τους αὐτήν οἱ Ρωμαῖοι ἀπεφάσισαν νά τούς κηρύξουν τόν πόλεμο καί, ἀφοῦ ἑτοίμασαν ἀξιόλογη δύναμη, διόρισαν δικτάτορα τόν Ἄνιο Αἰμίλιο καί μαζί του, ἀκολουθώντας τή συνήθεια πού εἶχαν, ἕναν ἵππαρχο, τόν Αὖλο Κορνήλιο. 8. Ὁ Αἰμίλιος, ἀφοῦ συμπλήρωσε τήν πολε-

μενος τὰ πρὸς τὸν πόλεμον, ἀνέζευξε μετὰ τῆς δυνάμεως ἐπὶ τοὺς Φιδηνάτας. ἀντιταξαμένων δὲ τῶν Φιδηνατῶν ἐγένετο μάχη ἐπὶ πολὺν χρόνον ἰσχυρά, καὶ πολλῶν παρ᾽ ἀμφοτέροις πεσόντων ἰσόρροπος ὁ ἀγὼν ἐγένετο.

81. Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησιν Εὐφήμου ἐν Ῥώμῃ κατεστάθησαν ἀντὶ τῶν ὑπάτων χιλίαρχοι Λεύκιος Φούριος, Λεύκιος Κοΐντιος, Αὖλος Σεμπρώνιος. ἐπὶ δὲ τούτων Λακεδαιμόνιοι μετὰ τῶν συμμάχων στρατεύσαντες εἰς τὴν Ἀργείαν Ὑσιὰς χωρίον εἷλον, καὶ τοὺς ἐνοικοῦντας ἀποκτείναντες τὸ μὲν φρούριον κατέσκαψαν, αὐτοὶ δὲ πυθόμενοι τοὺς Ἀργείους ᾠκοδομηκέναι τὰ μακρὰ τείχη μέχρι τῆς θαλάττης, ἐπελθόντες τὰ κατεσκευασμένα τείχη κατέσκαψαν, καὶ τὴν εἰς τὴν οἰκείαν ἐπάνοδον ἐποιήσαντο.

2 *Ἀθηναῖοι δ᾽ ἑλόμενοι στρατηγὸν Ἀλκιβιάδην, καὶ δόντες αὐτῷ ναῦς εἴκοσι, προσέταξαν συγκατασκευάσαι τοῖς Ἀργείοις τὰ κατὰ τὴν πολιτείαν· ἔτι γὰρ ἦσαν ἐν ταραχαῖς διὰ τὸ πολλοὺς ὑπολελεῖφθαι τῶν τὴν ἀριστοκρατίαν αἱρου-*
3 *μένων. ὁ δ᾽ οὖν Ἀλκιβιάδης καταντήσας εἰς τὴν τῶν Ἀργείων πόλιν, καὶ συνεδρεύσας μετὰ τῶν τὴν δημοκρατίαν προκρινόντων, ἐπέλεξε τῶν Ἀργείων τοὺς μάλιστα δοκοῦντας τὰ τῶν Λακεδαιμονίων αἱρεῖσθαι· μεταστησάμενος δὲ τούτους ἐκ τῆς πόλεως, καὶ συγκατασκευάσας βεβαίως τὴν δημοκρατίαν, ἀπέπλευσεν εἰς τὰς Ἀθήνας.*

4 *Τούτου δὲ τοῦ ἔτους λήγοντος Λακεδαιμόνιοι μετὰ πολλῆς δυνάμεως ἐμβαλόντες εἰς τὴν Ἀργείαν, καὶ πολλὴν τῆς χώρας δῃώσαντες, τοὺς φυγάδας τῶν Ἀργείων κατῴκισαν εἰς Ὀρνεάς· ἐπιτειχίσαντες δὲ τοῦτο τὸ χωρίον ἐπὶ τῆς Ἀργείας,*

μική προετοιμασία, ἐβάδισε μέ τό στρατό του ἐναντίον τῶν Φιδηνατῶν. Κι ὅταν οἱ Φιδηνάτες ἀντέταξαν τίς δυνάμεις τους, συνήφθη σκληρή μάχη μεγάλης διάρκειας. Σημειώθηκαν βαρειές ἀπώλειες καί τῶν δυό παρατάξεων κι ἡ μάχη ὑπῆρξε ἀμφίρροπη.

81.

Ὅταν στήν Ἀθήνα ἦταν ἄρχων ὁ Εὔφημος, στή Ρώμη ἀναδείχθηκαν ἀντί τῶν ὑπάτων χιλίαρχοι, ὁ Λεύκιος Φούριος, ὁ Λεύκιος Κοΐντιος καί ὁ Αὖλος Σεμπρώνιος. Αὐτήν τή χρονιά οἱ Λακεδαιμόνιοι μαζί μέ τούς συμμάχους τους ἐξεστράτευσαν στήν Ἀργολίδα καί κατέλαβαν τό ὀχυρό Ὑσιαί[57], ἔσφαξαν τούς κατοίκους του καί ἰσοπέδωσαν τό φρούριο. Κι ὅταν ἔμαθαν ὅτι οἱ Ἀργεῖοι εἶχαν ὁλοκληρώσει τήν οἰκοδόμηση τῶν μακρῶν τειχῶν ὥς τή θάλασσα, κατέφθασαν ἐκεῖ, γκρέμισαν τά τείχη ἀπό τά θεμέλια κι ἐπανῆλθαν στήν πατρίδα τους.

2. Οἱ Ἀθηναῖοι ἐξέλεξαν στρατηγό τόν Ἀλκιβιάδη καί δίνοντάς του εἴκοσι πλοῖα τόν πρόσταξαν νά βοηθήσῃ τούς Ἀργείους στή διευθέτηση τῆς πολιτικῆς κρίσεως. Γιατί ἐπικρατοῦσαν ἀκόμα ταραχές ἀπό τό γεγονός ὅτι εἶχαν μείνει πολλοί ἀκόμα ὀπαδοί τῆς ἀριστοκρατίας. 3. Ὁ Ἀλκιβιάδης λοιπόν, φθάνοντας στήν πόλη τῶν Ἀργείων καί σέ μιά σύσκεψη μέ τούς δημοκρατικούς, κατάρτισε ἕναν κατάλογο τῶν Ἀργείων ἐκείνων, πού θεωροῦνταν οἱ πιό φανατικοί ὀπαδοί τῶν Λακεδαιμονίων. Κι ἀφοῦ τούς ἐκτόπισε ἀπό τήν πόλη καί βοήθησε στή σταθεροποίηση τῆς δημοκρατίας, ἀπέπλευσε στήν Ἀθήνα.

4. Κατά τά τέλη τοῦ ἔτους αὐτοῦ οἱ Λακεδαιμόνιοι εἰσέβαλαν μέ πολύ στρατό στήν Ἀργολίδα κι ἀφοῦ λεηλάτησαν μεγάλο μέρος τῆς χώρας, ἐγκατέστησαν τούς ἐξορίστους Ἀργείους στίς Ὀρνεές[58]. Ἐτείχισαν τό μέρος αὐτό, γιά νά τό ἔχουν ὡς ὀχυρό ἐναντίον τῆς Ἀργολίδος, κι ἄφησαν ἐκεῖ

57. Αἱ Ὑσιαί βρίσκονταν στήν Ἀργολίδα, στά σύνορα πρός τή Λακωνία.
58. Στή βορειοδυτική Ἀργολίδα.

καὶ φρουροὺς τοὺς ἱκανοὺς ἀπολιπόντες, προσέταξαν κα-
5 *κοποιεῖν τοὺς Ἀργείους. ἀπελθόντων δὲ τῶν Λακεδαιμονίων*
ἐκ τῆς Ἀργείας, Ἀθηναῖοι μὲν συμμαχίαν ἐξέπεμψαν τοῖς
Ἀργείοις τριήρεις τετταράκοντα, ὁπλίτας δὲ χιλίους καὶ
διακοσίους· οἱ δ' Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων στρατεύσαν-
τες ἐπὶ τὰς Ὀρνεὰς τήν τε πόλιν κατὰ κράτος εἷλον καὶ τῶν
φρουρῶν καὶ φυγάδων οὓς μὲν ἀπέκτειναν, οὓς δ' ἐξέβαλον
ἐκ τῶν Ὀρνεῶν.

Ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τὸ πεντεκαιδέκατον ἔτος
τοῦ Πελοποννησιακοῦ πολέμου.

82. Τῷ δ' ἑκκαιδεκάτῳ παρὰ μὲν Ἀθηναίοις ἦν ἄρχων
Ἀρίμνηστος, ἐν Ῥώμῃ δ' ἀντὶ τῶν ὑπάτων χιλίαρχοι κατε-
στάθησαν τέτταρες, Τίτος Κλαύδιος καὶ Σπόριος Ναύτιος,
ἔτι δὲ Λούκιος Σέντιος καὶ Σέξτος Ἰούλιος. ἐπὶ δὲ τούτων
παρὰ μὲν Ἠλείοις ἤχθη Ὀλυμπιὰς πρώτη πρὸς ταῖς ἐνενή-
κοντα, καθ' ἣν ἐνίκα στάδιον Ἐξαίνετος Ἀκραγαντῖνος.
2 *Βυζάντιοι δὲ καὶ Καλχηδόνιοι παραλαβόντες Θρᾷκας*
ἐστράτευσαν εἰς τὴν Βιθυνίαν πολλοῖς πλήθεσι, καὶ τήν τε
χώραν ἐπόρθησαν καὶ πολλὰ τῶν μικρῶν πολισματίων ἐκπο-
λιορκήσαντες ἐπετελέσαντο πράξεις ὠμότητι διαφερούσας·
πολλῶν γὰρ αἰχμαλώτων κρατήσαντες ἀνδρῶν τε καὶ γυ-
ναικῶν καὶ παίδων ἅπαντας ἀπέσφαξαν.

3 *Περὶ δὲ τοὺς αὐτοὺς χρόνους κατὰ τὴν Σικελίαν Ἐγε-*
σταῖοι πρὸς Σελινουντίους ἐπολέμησαν περὶ χώρας ἀμφι-
σβητησίμου, ποταμοῦ τὴν χώραν τῶν διαφερομένων πό-
4 *λεων ὁρίζοντος. Σελινούντιοι δὲ διαβάντες τὸ ῥεῖθρον τὸ*
μὲν πρῶτον τῆς παραποταμίας βίᾳ κατέσχον, μετὰ δὲ ταῦτα
καὶ τῆς προσκειμένης χώρας πολλὴν ἀποτεμόμενοι κατε-
5 *φρόνησαν τῶν ἠδικημένων. οἱ δ' Ἐγεσταῖοι παροξυνθέντες*
τὸ μὲν πρῶτον διὰ τῶν λόγων πείθειν ἐπεβάλοντο μὴ ἐπι-
βαίνειν τῆς ἀλλοτρίας γῆς· ὡς δὲ οὐδεὶς αὐτοῖς προσεῖχεν,

ἰσχυρή φρουρά μέ διαταγές νά βλάπτουν τούς Ἀργείους. 5. Ἀλλά, ὅταν οἱ Λακεδαιμόνιοι ἀποσύρθηκαν ἀπό τήν Ἀργολίδα, οἱ Ἀθηναῖοι ἔστειλαν στούς Ἀργείους συμμαχική ἐνίσχυση ἀπό τριάντα τριήρεις καί δυό χιλιάδες διακόσιους ὁπλίτες. Οἱ Ἀργεῖοι τότε ἐξεστράτευσαν μαζί μέ τούς Ἀθηναίους ἐναντίον τῶν Ὀρνεῶν καί κατέλαβαν μέ ἔφοδο τήν πόλη καί τούς φρουρούς, καθώς καί τούς ἐξορίστους, ἄλλους σκότωσαν κι ἄλλους τούς ἔδιωξαν ἀπό τίς Ὀρνεές.

Αὐτά εἶναι τά γεγονότα πού συνέβησαν κατά τό δέκατο πέμπτο ἔτος τοῦ Πελοποννησιακοῦ πολέμου.

82.

Τόν ἑπόμενο χρόνο, δέκατο ἕκτο ἔτος τοῦ Πελοποννησιακοῦ πολέμου, στήν Ἀθήνα ἦταν ἄρχων ὁ Ἀρίμνηστος καί στή Ρώμη ἀντί τῶν ὑπάτων ἐκλέχθηκαν τέσσερες χιλίαρχοι, ὁ Τίτος Κλαύδιος, ὁ Σπόριος Ναύτιος, ὁ Λεύκιος Σέντιος καί ὁ Σέξτος Ἰούλιος. Αὐτήν τή χρονιά οἱ Ἠλεῖοι ὀργάνωσαν τήν ἐνενηκοστή πρώτη Ὀλυμπιάδα, κατά τήν ὁποία νίκησε στόν ἀγῶνα δρόμου ἑνός σταδίου ὁ Ἐξαίνετος ὁ Ἀκραγαντῖνος. 2. Οἱ Βυζάντιοι καί οἱ Χαλκηδόνιοι, ἔχοντας μαζί τους καί Θρᾶκες, ἐξεστράτευσαν ἐναντίον τῆς Βιθυνίας μέ μεγάλη δύναμη, λεηλάτησαν τήν περιοχή της καί, ἀφοῦ κατέλαβαν μέ πολιορκία πολλούς μικρούς οἰκισμούς, διέπραξαν πρωτοφανεῖς ὠμότητες. Γιατί τούς πολλούς αἰχμαλώτους πού ἔπιασαν, ἄντρες, γυναῖκες καί παιδιά, τούς ἔσφαξαν ὅλους.

3. Τόν ἴδιο καιρό στή Σικελία ξέσπασε πόλεμος μεταξύ τῶν Ἐγεσταίων καί Σελινουντίων γιά ἀμφισβητούμενα ἐδάφη στό μέρος ὅπου ἕνας ποταμός ἀποτελοῦσε τό σύνορο τῶν δύο ἐμπολέμων. 4. Οἱ Σελινούντιοι πέρασαν τό ποτάμι καί κατέλαβαν διά τῆς βίας τήν παραποτάμια περιοχή κι ἀργότερα ἀποθρασύνθησαν κι ἀπέκοψαν ἕνα μεγάλο μέρος ἀπό τήν παρακείμενη ἔκταση. 5. Ὀργισμένοι γι' αὐτό οἱ Ἐγεσταῖοι, στήν ἀρχή ἐπιχείρησαν νά τούς πείσουν μέ τά λόγια νά μήν καταπατοῦν ξένα ἐδάφη. Ἐπειδή ὅμως δέν τούς ἔδινε κανείς ση-

ἐστράτευσαν ἐπὶ τοὺς κατέχοντας τὴν χώραν, καὶ πάντας
6 *ἐκβαλόντες ἐκ τῶν ἀγρῶν αὐτοὶ τὴν χώραν κατέσχον. γε-*
νομένης δὲ διαφορᾶς μεγάλης ἀμφοτέραις ταῖς πόλεσι,
στρατιώτας ἀθροίσαντες διὰ τῶν ὅπλων ἐποιοῦντο τὴν κρί-
σιν. διόπερ ἀμφοτέρων παραταξαμένων ἐγένετο μάχη καρ-
τερά, καθ' ἣν Σελινούντιοι νικήσαντες ἀπέκτειναν τῶν Ἐγε-
7 *σταίων οὐκ ὀλίγους. οἱ δ' Ἐγεσταῖοι ταπεινωθέντες καὶ καθ'*
ἑαυτοὺς οὐκ ὄντες ἀξιόμαχοι, τὸ μὲν πρῶτον Ἀκραγαντί-
νους καὶ Συρακοσίους ἔπειθον συμμαχῆσαι· ἀποτυχόντες δὲ
τούτων ἐξέπεμψαν πρεσβευτὰς εἰς τὴν Καρχηδόνα, δεόμε-
νοι βοηθῆσαι· οὐ προσεχόντων δ' αὐτῶν, ἐζήτουν τινὰ δια-
πόντιον συμμαχίαν· οἷς συνήργησε ταὐτόματον.

83. Λεοντίνων γὰρ ὑπὸ Συρακοσίων ἐκ τῆς πόλεως
μετῳκισμένων καὶ τὴν πόλιν καὶ τὴν χώραν ἀποβεβληκότων,
οἱ φυγάδες αὐτῶν συστραφέντες ἔκριναν πάλιν τοὺς Ἀθη-
2 *ναίους προσλαβέσθαι συμμάχους, ὄντας συγγενεῖς. περὶ δὲ*
τούτων κοινολογησάμενοι τοῖς Ἐγεσταίοις οἷς συνεφρόνη-
σαν καὶ κοινῇ πρέσβεις ἐξέπεμψαν πρὸς Ἀθηναίους, ἀξιοῦν-
τες μὲν βοηθῆσαι ταῖς πόλεσιν αὐτῶν ἀδικουμέναις, ἐπαγ-
γειλάμενοι δὲ συγκατασκευάσειν αὐτοῖς τὰ κατὰ τὴν Σι-
3 *κελίαν πράγματα. παραγενομένων οὖν εἰς τὰς Ἀθήνας τῶν*
πρέσβεων, καὶ τῶν μὲν Λεοντίνων τὴν συγγένειαν προφε-
ρομένων καὶ τὴν προϋπάρχουσαν συμμαχίαν, τῶν δ' Ἐγε-
σταίων ἐπαγγελλομένων χρημάτων τε πλῆθος δώσειν εἰς
τὸν πόλεμον καὶ συμμαχήσειν κατὰ τῶν Συρακοσίων, ἔδοξε
τοῖς Ἀθηναίοις ἐκπέμψαι τινὰς τῶν ἀρίστων ἀνδρῶν καὶ δια-

μασία, ἐξεστράτευσαν ἐναντίον αὐτῶν πού κατεῖχαν τά ἐδάφη τους κι ἀφοῦ τούς ἔδιωξαν ὅλους ἀπό τά χωράφια, ἀνακατέλαβαν τή γῆ τους. 6. Ἔτσι ἡ διαμάχη μεταξύ τῶν δύο πόλεων ὀξύνθηκε καί συγκεντρώνοντας καί οἱ δύο στρατό, ἀποφάσισαν νά λύσουν τή διαφορά μέ τά ὅπλα. Συνήφθη σκληρή μάχη, κατά τήν ὁποία νίκησαν οἱ Σελινούντιοι καί σκότωσαν ὄχι καί λίγους ἀπό τούς Ἐγεσταίους. 7. Οἱ Ἐγεσταῖοι, καθώς ταπεινώθηκαν καί δέν ἦταν σέ θέση νά πολεμήσουν μόνοι τους, στήν ἀρχή προσπαθοῦσαν νά ἐπιτύχουν μιά συμμαχία μέ τούς Ἀκραγαντίνους καί τούς Συρακοσίους. Ἀλλά ἀπέτυχαν καί ἔστειλαν πρέσβεις στήν Καρχηδόνα μέ τήν παράκληση νά τούς βοηθήσουν. Κι ὅταν κι οἱ Καρχηδόνιοι δέν ἀνταποκρίθηκαν, ἀναζητοῦσαν κάποια ὑπερπόντια συμμαχία. Σ' αὐτό τούς βοήθησε κι ἡ τύχη.

83.

Γιατί, καθώς οἱ Λεοντῖνοι ἀναγκάσθηκαν ἀπό τούς Συρακοσίους νά ἐγκαταλείψουν τήν πόλη τους καί νά κατοικήσουν ἀλλοῦ κι ἔχασαν ἔτσι καί πόλη καί χώρα, ὅσοι λοιπόν ἀπ' αὐτούς ζοῦσαν στήν ἐξορία συσπειρώθηκαν καί ἀποφάσισαν πάλι νά πάρουν συμμάχους τούς Ἀθηναίους, πού ἦταν συγγενεῖς τους. 2. Ὅταν λοιπόν συζήτησαν τίς σκέψεις τους αὐτές μέ τούς Ἐγεσταίους, συμφώνησαν κι ἐκεῖνοι κι ἔστειλαν ἀπό κοινοῦ πρέσβεις στούς Ἀθηναίους καί τούς παρακαλοῦσαν νά βοηθήσουν τίς πόλεις τους, πού ἦταν θύματα ἄδικης μεταχειρίσεως καί τούς ὑπόσχονταν μέ τή σειρά τους νά βοηθήσουν καί αὐτοί τούς Ἀθηναίους σέ μιά ἐπιθυμητή διευθέτηση τῶν πολιτικῶν πραγμάτων στή Σικελία. 3. Ὅταν οἱ πρέσβεις ἦρθαν στήν Ἀθήνα, κι οἱ Λεοντῖνοι πρόβαλλαν τή συγγένεια καί τήν παλαιότερη συμμαχία μέ τούς Ἀθηναίους, ἐνῶ οἱ Ἐγεσταῖοι ὑπόσχονταν νά τούς δώσουν πολλά χρήματα γιά τόν πόλεμο καί νά πολεμήσουν οἱ σύμμαχοί τους ἐναντίον τῶν Συρακοσίων, οἱ Ἀθηναῖοι ἀποφάσισαν νά στείλουν μερικούς ἀπό τούς ἱκανότατους πού εἶχαν γιά νά μελετήσουν τήν κα-

4 *σκέψασθαι τὰ κατὰ τὴν νῆσον καὶ τοὺς Ἐγεσταίους. παραγενομένων οὖν τούτων εἰς τὴν Ἔγεσταν, οἱ μὲν Ἐγεσταῖοι χρημάτων πλῆθος ἐπέδειξαν, τὰ μὲν οἴκοθεν, τὰ δὲ παρὰ*
5 *τῶν ἀστυγειτόνων χρησάμενοι φαντασίας ἕνεκεν. ἀνελθόντων δὲ τῶν πρέσβεων καὶ τὴν εὐπορίαν τῶν Ἐγεσταίων ἀπαγγειλάντων, συνῆλθεν ὁ δῆμος περὶ τούτων. προτεθείσης δὲ τῆς βουλῆς περὶ τοῦ στρατεύειν ἐπὶ Σικελίαν, Νικίας μὲν ὁ Νικηράτου, θαυμαζόμενος ἐπ' ἀρετῇ παρὰ τοῖς πολί-*
6 *ταις, συνεβούλευε μὴ στρατεύειν ἐπὶ Σικελίαν· μὴ γὰρ δυνατὸν ὑπάρχειν ἅμα τε Λακεδαιμονίοις διαπολεμεῖν καὶ δυνάμεις μεγάλας ἐκπέμπειν διαποντίους, καὶ τῶν Ἑλλήνων μὴ δυναμένους κτήσασθαι τὴν ἡγεμονίαν ἐλπίζειν τὴν μεγίστην τῶν κατὰ τὴν οἰκουμένην νήσων περιποιήσασθαι, καὶ Καρχηδονίους μέν, ἔχοντας μεγίστην ἡγεμονίαν καὶ πολλάκις ὑπὲρ τῆς Σικελίας πεπολεμηκότας, μὴ δεδυνῆσθαι κρατῆσαι τῆς νήσου, τοὺς δὲ Ἀθηναίους, πολὺ λειπομένους τῇ δυνάμει τῶν Καρχηδονίων, δορίκτητον ποιήσασθαι τὴν κρατίστην τῶν νήσων.*

84. Πολλὰ δὲ καὶ ἄλλα διαλεχθέντος αὐτοῦ τῆς προκειμένης ὑποθέσεως οἰκεῖα, τῆς ἐναντίας γνώμης προεστηκὼς Ἀλκιβιάδης, ἐπιφανέστατος Ἀθηναίων, ἔπεισε τὸν δῆμον ἐπανελέσθαι τὸν πόλεμον· ἦν γὰρ ὁ ἀνὴρ οὗτος δεινότατος μὲν εἰπεῖν τῶν πολιτῶν, εὐγενείᾳ δὲ καὶ πλούτῳ καὶ στρα-
2 *τηγίᾳ διωνομασμένος. εὐθὺς οὖν ὁ δῆμος στόλον ἀξιόχρεων κατεσκεύασε, τριάκοντα μὲν τριήρεις παρὰ τῶν συμμάχων*
3 *λαβών, ἰδίας δ' ἑκατὸν καταρτίσας. ταύτας δὲ κοσμήσας πᾶσι τοῖς εἰς πόλεμον χρησίμοις κατέλεξεν ὁπλίτας εἰς πεν-*

τάσταση σ' ὅλο τό νησί καί εἰδικότερα στούς Ἐγεσταίους. 4. Ὅταν λοιπόν αὐτοί ἔφθασαν στήν Ἔγεστα, οἱ Ἐγεσταῖοι τούς ἔδειξαν πολλά χρήματα, πού ἦταν ἄλλα δικά τους κι ἄλλα τά εἶχαν δανεισθῆ ἀπό τούς πλησιόχωρους, γιά νά τούς ἐντυπωσιάσουν. 5. Κι ὅταν ἀνέβηκαν στήν Ἀθήνα οἱ πρέσβεις κι ἀνήγγειλαν τόν πλοῦτον τῶν Ἐγεσταίων, συνῆθλε ἡ ἐκκλησία γιά νά ἐξετάση τό θέμα. Κι ὅταν ἔγινε ἡ σχετική εἰσήγηση μέ τήν πρόταση νά ἐκστρατεύσουν στή Σικελία, ὁ Νικίας, ὁ γυιός τοῦ Νικηράτου, ἄνθρωπος μέ μεγάλη ἐκτίμηση μεταξύ τῶν πολιτῶν γιά τήν ἀρετή του, τούς συμβούλεψε νά μήν ἐκστρατεύσουν ἐναντίον τῆς Σικελίας. 6. Γιατί δέν εἶναι δυνατό νά διεξάγουν τόν πόλεμο ἐναντίον τῶν Λακεδαιμονίων καί ταυτόχρονα νά στέλνουν μεγάλες δυνάμεις πέρα ἀπό τίς θάλασσες κι ἐνῶ δέν μποροῦν νά κατακτήσουν τήν ἡγεμονία τῶν Ἑλλήνων, νά ἐλπίζουν νά ὑποτάξουν τή μεγαλύτερη νῆσο τῆς οἰκουμένης. Ἀκόμα καί οἱ Καρχηδόνιοι, τούς ἔλεγε, πού εἶχαν μιά μεγάλη αὐτοκρατορία κι ἔδωσαν τόσες μάχες γιά τήν κατάκτηση τῆς Σικελίας, τελικά δέν μπόρεσαν νά τήν ὑποτάξουν, καί θά μπορέσουν οἱ Ἀθηναῖοι, πού ἔχουν πολύ μικρότερη δύναμη ἀπό ἐκείνη τῶν Καρχηδονίων, νά κατακτήσουν μέ τά ὅπλα τήν ἰσχυρότερη νῆσο;

84.

Ἀφοῦ ὁ Νικίας ἀνέπτυξε αὐτά τά ἐπιχειρήματα καί ἄλλα πολλά σχετικά μέ τό προκείμενο, ὁ Ἀλκιβιάδης, πού ἦταν ὁ κύριος φορεύς τῆς ἀντίθετης γνώμης, ἕνας ἀπό τούς πιό ἐπιφανεῖς Ἀθηναίους, ἔπεισε τό λαό νά ἀναλάβη τόν πόλεμο. Γιατί ὁ ἄνθρωπος αὐτός ἦταν δεινότατος ρήτωρ καί διακεκριμένος μεταξύ τῶν πολιτῶν γιά τήν εὐγένεια τῆς καταγωγῆς, τόν πλοῦτο καί τή στρατηγική του ἱκανότητα.

2. Ἀμέσως λοιπόν ὁ λαός ἑτοίμασε ἕναν ἰσχυρό στόλο, τριάντα τριήρεις παρέλαβε ἀπό τούς συμμάχους καί ἑκατό ἑτοίμασε ὁ ἴδιος. 3. Κι ὅταν ὅλα αὐτά τά πλοῖα τά ἐξόπλισε μέ ὅλα τά χρήσιμα γιά τόν πόλεμο, στρατολόγησε κάπου πεντα-

τακισχιλίους, στρατηγοὺς δὲ τρεῖς ἐχειροτόνησεν ἐπὶ ταύτην τὴν στρατηγίαν, Ἀλκιβιάδην καὶ Νικίαν καὶ Λάμαχον.

4 *Ἀθηναῖοι μὲν οὖν περὶ ταῦτα ἦσαν. Ἡμεῖς δὲ παρόντες ἐπὶ τὴν ἀρχὴν τοῦ πολέμου τοῦ συστάντος Ἀθηναίοις καὶ Συρακοσίοις, κατὰ τὴν ἐν ἀρχῇ πρόθεσιν τὰς ἑπομένας πράξεις εἰς τὴν ἐχομένην βίβλον κατατάξομεν.*

κόσιους ὁπλίτες καί ἐξέλεξε τρεῖς στρατηγούς, ὑπεύθυνους γιά τήν ἐκστρατεία, τόν Ἀλκιβιάδη, τό Νικία καί τό Λάμαχο. 4. Οἱ Ἀθηναῖοι λοιπόν ἦταν ἀπασχολημένοι μ' αὐτά. Κι ἐμεῖς, καθώς βρισκόμαστε στήν ἀρχή τοῦ πολέμου μεταξύ τῶν Ἀθηναίων καί τῶν Συρακοσίων, ἀκολουθώντας τό ἀρχικό σχέδιο τοῦ ἔργου μας, τά γεγονότα πού ἀκολούθησαν θά τά καταγράψωμε στό ἑπόμενο βιβλίο.